29.

BIBLIOTECA
DE LA
Universidad de Salamanca.
Est. 1 Caj. 2 Núm. 21.

M. Muñoz    Dr. Forcada

BIBLIOTECA UNIVERSITARIA
DE
SALAMANCA

M
295

¶ σχόλια εἰς τὰ θεοκρίτου εἰδύλλια, 1

ἁδύ τι τὸ ψιθύρισμα. ψιθύρισμα
μινύρισμα. ὀνοματοπεποίηται
ἡ λέξις περὶ τὴν τοῦ ἤχου ἰδιότητα, κα
τὰ, ~~πῶ τοῦ~~ μίμησιν τῆς φωνῆς κα
θάπερ καὶ κελαρίζειν καὶ ψίθυρος
ὁ λάλος. αἰπόλε αἰπόλοι
δέ εἰσιν οἱ ἐν τοῖς αἴπεσι τουτέστιν
ὑψηλοῖς τόποις καὶ βαθέσι τὰς αἶ
γας νέμοντες. οὕτω γὰρ φιλεῖ τὸ
ζῶον. μελίσδετ διὰ τοῦ ζ ἡ
γραφή. τὸ δὲ μελίσδω αἰολικὸν
ἐστι. μελίσδεται δὲ ἀντὶ τοῦ με
λίζει ὅ ἐστι λιγυρὸν ἠχεῖ καὶ ᾄδει.
μέλη γὰρ τὰς ᾠδὰς ἔλεγον ὡς
καὶ πίνδαρος τὸν πᾶνα φάσκει
τὸ σαυτοῦ μέλος γλάζεις τουτέστιν
ἑαυτῷ ᾠδὴν ᾄδεις. μετὰ πᾶνα
τὸν πᾶνα, οἱ μὲν λέγουσιν υἱὸν πη
νελόπης καὶ πάντων τῶν μνηστήρων
καὶ διὰ τοῦτο λέγεσθαι καὶ πᾶνα.
ἐπιμενίδης δὲ ἐν τοῖς ποιήμασιν
διὸς καὶ καλλιστοῦς πᾶνα καὶ ἀρκά

Estelibro es delesti de [illegible]

a. 1

# ¶ Σχόλια εἰς τὰ θεοκρίτου εἰδύλλια



Ἁδύ τι τὸ ψιθύρισμα. ψιθύρισμα
μινύρισμα. ὀνοματοπεποίηται
ἡ λέξις περὶ τὴν τοῦ ἤχου ἰδιότητα, κα-
τὰ ~~τὴν τοῦ~~ μίμησιν τῆς φωνῆς κα-
θάπερ καὶ κελαρύζειν καὶ ψίθυρος
ὁ λάλος. αἰπόλε. αἰπόλοι
δέ εἰσιν οἱ ἐν τοῖς αἴπεσι τουτέστιν
ὑψηλοῖς τόποις καὶ τραχέσι τὰς αἶ-
γας νέμοντες. οὕτω γὰρ φιλεῖ τὸ
ζῶον. μελίσδεται διὰ τοῦ ·ζ· ἡ
γραφή. τὸ δὲ μελίσδω αἰολικόν
ἐστι. μελίσδεται δὲ ἀντὶ τοῦ με-
λίζει ὅ ἐστι λιγυρὸν ἠχεῖ καὶ ᾄδει.
μέλη γὰρ τὰς ᾠδὰς ἔλεγον ὡς
καὶ πίνδαρος ὦ πᾶνα [illegible]
τὸ σαυτοῦ μέλος γλάζεις τουτέστιν
ἑαυτῷ ᾠδὴν ᾄδεις. μετὰ πᾶνα.
τὸν πᾶνα οἱ μὲν λέγουσιν υἱὸν πη-
νελόπης καὶ πάντων τῶν μνηστήρων
καὶ διὰ τοῦτο λέγεσθαι καὶ πᾶνα.
ἐπιμενίδης δὲ ἐν τοῖς ποιήμασιν
διὸς καὶ καλιστοῦς πᾶνα καὶ ἀρκά-

Este libro es del [illegible]

a. 1.

τῶν ὀρῶν τὰ τραχέα· ἔχουσι καὶ τῇ
μιᾷ χειρὶ τὸ δρέπανον σημαίνει
τὴν ἐργασίαν· τῇ δὲ ἄλλῃ τὴν
σύριγγα, σημαίνον τοὺς ἀνέμους·
ἀίκα ἀντὶ τοῦ ἧκεν ἐστίν·
ἀλλὰ τὴν -ει- δίφθογγον τρέπουσιν
εἰς -αι-· τὸ δὲ -ε- ψιλὸν τρέπουσιν
εἰς -α- βραχύ· οἷον ἄρτεμις ἄρ
ταμις· τὰ χίμαρος· χίμαρος
θηλυκῶς ἡ ἐνιαυσία αἲξ ἡ ἑνὸς
χειμῶνος οὖσα· χίμαρος δὲ ἀρσε
νικῶς ὁ τράγος· τῆνα ἀντὶ τοῦ
ἐκεῖνα δωρικῶς· οἱ γὰρ δωριεῖς ποτὲ
μὲν τὸ -τ- γράφουσιν ἀντὶ τοῦ -κ-
τὸ δὲ -κ- ἀντὶ τοῦ -τ-· νῦν δὲ τὸ
-τ- ἀντὶ τοῦ -κ-· ἐκεῖνα γὰρ ἦν κατ'
ἀφαίρεσιν τοῦ -ε- κεῖνα καὶ κατὰ δω
ριεῖς κῆνα, καὶ τροπῇ τοῦ -κ- εἰς -τ-
καὶ τοῦ -ε- εἰς -η- τῆνα ὑπεκθλίψει
τοῦ -ι-· τὰ λῇς ἀντὶ τοῦ θέλεις
ἀπὸ τοῦ λῶ τὸ θέλω ὅθεν καὶ
λῷον τὸ ἐπωφελές ὁ πάντες

θέλομεν. ση τῆδε καθίξας ||
ἐνθάδε ἢ ἐκτὸς τροπῇ τοῦ ς
ἀπὸ ξ. δωρικῶς οἱ γὰρ δωριεῖς τὸν
μέλλοντα τῆς τετάρτης συζυγίας
τῶν βαρυτόνων τῆς λιγούσης ἀπὸ
ξ. διὰ τοῦ ξ. ἐκφέρουσι ση τῶ τε πελ
ίππω — πελάσπη νύμφης παίδος
χιόνης ἢ διονύσου φασὶν ἄνα
ὅρον ὃν κτίσαι περὶ λάμψακον
ὁμώνυμον αὐτῷ πόλιν φασὶν ; |
ἔστι δὲ οἷον βελήπους διὰ τὸ
ἐν ταῖς βακχείαις ἢ μέθαις
ἐκβοᾶσθαι ἢ ἀπὸ τοῦ προΐεσθαι
τὸ σπέρμα ση κυνούβιον πρὸς
τὸ χεῖσθαι ἐν αὐτῷ τὸ οἶνον χυσού
βιον ὂν / ἢ ξύλινον ἔκπωμα καὶ
κεκοσμημένον γομφίοις πολλοῖς
ση μαρύεται ἢ μήρυμα ἀνα
λύεται ἢ ἀνέλκεται. μηρύω δὲ
τὸ κουβαριάζω ση κυλοιδιόων
τες οἱ οἰδοῦντες τὰ κοῖλα τὰ
ὑπὸ τοὺς ὀφθαλμούς. συμβαίνει γὰρ

διου διδύμους · ἀρίστιππος ἐν τῷ
ἀρκαδικῶν διὸς καὶ νύμφης οἰνηΐδος ·
οἱ δὲ λέγουσιν ὅτι διὰ τοῦτο πᾶν
+ ὅτι τῆς ὥρας ἐστὶ σημεῖον, τοῦ δὲ ἤ. τε
παντός. ὅθεν κυρίως προσαγο
ρεύεται πᾶν. συνοικειοῦται γὰρ
:· τῷ πᾶν ἔχοντι ἡ μορφὴ τοῦ θεοῦ τῷ περιέχοντι·
καὶ τὸ μὲν τῶν κεράτων ἡλίου καὶ
σελήνης μηνίσκους φησὶν εἶναι
τὸ δὲ πάρδαλιν ἐνῆφθαι τῆς
γῆς φαντασιῶν ἕνεκα. τὰ δὲ
+ κάτω λάσια τῶν τῆς γῆς νεύρων
καὶ τῶν ἐν αὐτῇ πεφυκότων. τὴν
δὲ σύριγγα τῶν ἐν κόσμῳ πάν
των ἀνέμων τὴν μίμησιν εἶναι
τὸν δὲ αἰγοπτὸν τῶν καταιγίδων
τὰς ἀφνιδίως ταραχὰς καὶ ἀπὸ
τῶν νεφελῶν γινομένας ἐν τῷ
ἀέρι μεταβολάς. καὶ τὰ κάτω
τουτέστι τοὺς μηροὺς δασεῖς σημαί
νοντας τοὺς ὑλώδεις τόπους καὶ
τὰ κάτω βραχέα σημαίνοντα

:· τῆ. βάρβα, · servius
qui ut hec omnia aut
traduxisse aut imitatus esse
in secundo edyllio sic ait · caprinos
pedes h(abe)t ut ostendat terre solidita
te(m). lege multa in eo loco

τοῖς ἀγρυπνοῦσι ὡς ἐπίπαν οἱ
δοκεῖν τὰ κοῖλα ~~τῶν ὀφθαλμῶν~~
ὅπῃ οἱ πολλοὶ ἀναγκαίως δίεργω
τα πάσχουσι. κοῖλα δὲ τὰ ὑπο
κάτω τῶν ὀφθαλμῶν τὰ ὑπώ
πια. σ γριπεύς ὁ ἁλιεύς
ἢ γρῖπος τὸ δίκτιον παρὰ τὸ
τοὺς ἰχθύας ἀγρεύειν. σ λέπρας
τραχέα, ἢ ὑπὸ τῶν κυμάτων
λεαινομένην ἢ ὑψηλὴ ἐστὶ ἢ
λέπας τοῦ ὄρους τὸ ἄκρον φησίν
ἢ λευκὴ ἢ λέπρᾳ ἐοικυῖα. /
σ ἐλλοπιεύειν τοὺς ἰχθύας ζω
γρεῖν. λαμβάνειν. ἔλλοπες γὰρ
οἱ ἰχθύες. ἢ παρὰ τὴν λεπίδα
ἢ ὅτι ἐλλειπομένην ἔχουσι τὴν
ὄπα. σ ᾠδήκαντι ἀττικῶς
ἢ δωρικῶς. οἰδῶ οἰδήσω ἀντὶ
τοῦ τετανυσμένοι ἢ πεφυσιω
μένοι ἢ ἐξωγκωμένοι. οἰδῶ γὰρ
τὸ ὀγκοῦμαι. ᾠδήκω ᾠδίκημι
αἰολικῶς. σ ῥῖνες τὰ παρακο

λουθοῦντα, νεῦρα, τὰς φλέβας,
ἐλέγετο δὲ παρ' αὐτοῖς καὶ ὁ ἱερὸς
ἶνις· ἀπὸ γὰρ τούτων τῶν μελῶν
τὸ σπέρμα, συνάγεσθαι δοκεῖ.
πυρναίαις. ὡρίμους
περκαζούσαις. οἱ δὲ τὰς ἤδη
ὥραν ἐχούσας ῥοφάς. πύρνον γὰρ
ἔνιοι τὴν ῥοφὴν λέγουσιν. ἢ πυρναί
αις. ταῖς ῥωξίμοις ἑξῆς νῶι φησὶ
φοιτᾶν σινομένα τὰν ῥώξιν. ταῖς
περκαζούσαις δρόσον πρὸ τῶν
ἀκτίνων τοῦ ἡλίου ξηροῦν.
ἀλωὴ κυρίως σημαίνει τὸν
ἀμπελόφυτον τόπον ὡς κατὰ πο
λὺ λῶον τοῦ ἁπλῶς πέδου. ὄρχως
τοὺς διδύμους τοῦ ἀμπέλου ἢ
τοὺς χαλιδίους. ἄντας ὅταν
θερίκεσσι ἀνθέρικος ὁ τῆς ἀσφο
δέλου καρπός. ὁ δὲ καυλὸς ἀν
θέρικος καλεῖται ὡς φησὶ χυλαῖος
ὢν καὶ μάζων. τὸ δὲ αὐτὸ καὶ θεόφρ
αστος. ἀπολλόδωρος δὲ ὁ ~~[illegible]~~

∴ γρ. ὥραις

δωδεκέων οὐ λέγεσθαι τὸν τῆς ἀσφο
δέλου καρπόν. ὁ δὲ νεοπτόλεμος
ἀνθέρικα, γελοίως ᾤηθη τὸν
ἀθέρα. τὰς πήρας παρὰ τὸ
φέρω φήρα καὶ πήρα μετὰ τῆς
πανταχοῦ προσθέσεως. καλεῖται
δὲ κίβισις καὶ οὐλεός. ὑγρὸς ἄκαν
θος. ὁ εὔκαρπος καὶ εὔτονος. ἔστι
δὲ εἶδος φυτοῦ ἀκανθώδους.
χαμαίζηλον εἰς μῆκος ἐξανθοῦν
λίαν. ἀκρατιεῖ. οἱ μέλλοντες
πολεμεῖν πρωὶ ἡλίου ὄντος ὀλίγον
τινὰ ἤσθιον ἄρτον καὶ ἄκρατον οἶνον
ἔπινον ὡς θερμοὶ ὦσι καὶ μὴ δειλι
ῶσι· ὃ καὶ ἀκρατισμὸν ἐκάλουν.
ἐνταῦθα δὲ ἀκρατιεῖ ἀντὶ τοῦ
ἀγεύστον. τύξαι καταπλῆξαι
σου τὴν ψυχὴν καὶ δι' ὑπερβολὴν
κάλλους ἐραστὸς σου νομισθῆ.
ἄρχετε. ἤγουν ἀρχηγοὶ γένεσθε τῆς
βουκολικῆς ᾠδῆς. μνασίας δὲ ἐν
τῷ περὶ εὐρώπης πανὸς ἦν

φησὶ βουκολίωνα ἀφ' οὗ καὶ τὸ
βουκολεῖν. ⁋ ὄρεξ αἴτνας αἴτ-
νη σικελίας ὄρος. σιμωνίδης φησὶ
αἴτνην κρῖναι ἥφαιστον καὶ δήμη-
τρα περὶ τῆς χώρας ἐρίσαντας.
δημήτριος ὁ καλατιανὸς τοῦ
βριαρέως ἑνὸς τῶν κυκλώπων
παῖδας γενέσθαι σικανὸν καὶ
αἴτνην ἀφ' οὗ τὸ ὄνομα τῷ
ὄρει. ⁋ ἢ κατὰ τέμπεα. τέμπη
μὲν γενικῶς ἄλση, νῦν δὲ τὸ με-
ταξὺ τῆς νήσου καὶ τοῦ ὀλύμπου
χωρίον ὃ ἐστι περικαλλὲς καὶ
ὥσπερ ὑπὸ θείας γνώμης πρὸς
τὴν ὄρεξιν διῃρημένον δι' ἧς ὁ
πηνειὸς εἰς θάλασσαν ῥεῖ.
⁋ πίνδου. πίνδος ὄρος περαι-
βίας ἐγγὺς θαλάσσης. ⁋ ἀνάπω.
ἄναπος ποταμὸς περὶ σικελίαν
συρακούσας. ἄναπος δὲ λέγεται
ὁ ἄνευ πόσεως ὢν ἁλμυρὸν ὕδωρ
ἔχων. ⁋ ἄκιδος. ἄκις ποταμὸς

σικελοί. λέγεται δὲ παρὰ τὸ ἀκίδι ἐοι
κέναι τὰ ῥήματα. Δαμάλαι δα
μάλιες αἱ ἤδη δαμασθῆναι δυνά
μεναι. πόρτιες αἱ μικραὶ αἱ μή
πω εἰς ζυγὸν ἐλθοῦσαι. ἐνθέρμαις
τὸ λ οἱ δωριεῖς εἰς ν μεταφέρουσι
ἀλλ' οὐ διαπαντός ἀλλ' ὅταν αὐτῷ τὸ
θ ἢ τὸ τ ἐπιφέρηται. βέν
τιστος καὶ φίντατος οὕτως καὶ ἦνθε.
λυγίζων. ἐν ῥεγίοις δησθεὶ ἤτοι
δῆσαι λυγοῖς· παρὰ τὸ δεσμεύειν
καὶ ὅμηρος δὲ δῆ μόσχοισι λυγοῖσιν
ἢ θαλάσσιον. θάλλος γὰρ ὁ λυγός
ἀμέριος γὰρ φησὶ λύγος ῥάβδος
ἀγνώων καὶ ἴσως οὓς μαστιγῶσι.
δυνατὸν δὲ καὶ τὸ ἀμαυρῶσιν λέ
γεσθαι· λυγαῖα γὰρ τὰ σκοτεινά.
φωλάδες ἄρκτοι. οὐ μάτην φη
σὶν ἀλλ' ἐπεὶ καὶ θεόφραστος καὶ ὁ σω
στρατος ἐν τῷ περὶ ἄρκτων ὅτι πρῶ
τον αἱ ἄρκτοι φωλεοῖς ἐχρῶντο
καὶ φωλεύουσι χρόνῳ τρέφουσαι

ἐν τοῖς

#

~~...~~ κρήνη ἐν συρακούσαις ἢ ἐν
σικελίᾳ. φασὶ διὰ πελάγους ἀλφει-
ὸν ἥξειν ~~...~~ ὥς φησιν ἴβυκος παρι-
στορῶν περὶ τῆς ὀλυμπιάδος φιάλης.
ἄλλως. ἀρέθουσα ὅτι σικελικὴ κρή-
νη πρόδηλον. δοκεῖ δὲ ὑπὸ ἀλφειοῦ
πληροῦσθαι. ἔστι δὲ καὶ ἐν εὐβοίᾳ
καὶ ἄλλη ἐν σάμῳ περὶ κόρακος
πέτρη. καὶ ἐπὶ κρηνῶν ἀρεθούσῃ χα-
ριέντως τοῦ ἐπαφροδίτου λέγοντος
ἐν τῷ περὶ στοιχείων ὡς ἀρεθού-
σας καλοῦσι τὰς κρήνας. ἀγνοεῖ
δὲ πρὸς τῆς ἐπιγραφῆς ἐπὶ κρήνης
μελανύδρου. κατὰ θύμβριδος
ὕδωρ. θύμβρις σικελίας ποταμός
ἐφ' ᾧ μυθεύεται ἡρακλῆς τὰς ἐκ
τῆς ἐρυθείας βοῦς ἐλαύνων ἐνταῦθα
ἀφίκετο. γενομένου δὲ χειμῶνος
ἀνυπερβλήτου ἔχωσε τὸν ποταμὸν
καὶ ἐπίπεδον ἐποίησε. ἐφ' ὃν οἱ
κέφαλοι διασκηνοῦνται κατοικοῦν-
τες. θεαίτητος δέ φησι συρακου-

σίους ἀπὸ τῆς ὕβρεως. ἀσκληπιάδης
δὲ ὁ μυρλεανὸς διὰ τοῦ. δ. γράφει
ἢ φησὶ δύκελς ἢ κατὰ γλῶσσαν
θάλασσα. γράφουσι δέ τινες
ὑπὸ τὸ μυκελδος. ἔστι δὲ οὗτος πο-
ταμὸς σικελίας. Καὶ τότε ἄρα μα-
κρὰ λυκαίου ὑπὸ τῶν λυκαίων
φησὶ χωρίων καλουμένων καλλι-
στοῦς ἀφ' οὗ ἐλθοῦσα τὴν λυκάονος
καλλιστὼ θυγατέρα ἄρκτον οὖσαν
ὑπὸ ξένου ταφῆναι. ἣν καί φησιν
ἄρκτος ἐν οὐρανῷ ἠστερέσθαι ./
μέναλ' ὄρος ἀρκαδίας ἀπὸ με-
νάλου τοῦ λυκάονος. εἴλικας ἱερὸν
παρὰ τὸ ἐπιρρέεσθαι τοῖς τῶν ὑε-
τῶν ὄμβροις ἢ τοῖς τῶν πολεμίων
ὕλαισι. ἄγνιτον ἔκπληξιν ἔχον
διὰ τὰ ἐν αὐτῷ γινόμενα περὶ λυ-
κάονα ἢ καλλιστὼ ἀρκάδιον ./
ἐπαρκεύθοισι. ἄρκευθος δέν-
δρον ἀκανθῶδες ἢ φυτόν. ὄχνας
ἢ ἀπίους φησὶ ἢ ~~ἀχράδας~~ ἀχρά-
δας

ὄχνας ἀπὸ τοῦ ἄγχεσθαι δοκεῖν. ἀχρά-
δες δὲ παρὰ τὸ ἐν τῷ ἐσθίεσθαι ὄχλησιν
ἐμποιεῖν. ἄπιοι δὲ δοκοῦσι πρῶτον
ἐν πελοποννήσῳ φυῆναι ἣν ἐκάλουν
ἀπίαν. Σκῶπας. ἀλέξανδρος
φησὶ τοὺς σκῶπας οὐκ ἐπιτερ-
πεῖς τῇ φωνῇ. διὸ ἡ παρ' ὁμήρῳ
γραφὴ δοκεῖ. φησὶ σκῶπές τ' ἴρη-
κές τε. οὐδὲ γάρ φησι χωρὶς τοῦ
σ. οἱ γὰρ σκῶπες φωνὴν ἀφιᾶσι.
καλλίμαχος δέ φησι φθέγγεσθαι
ὥσπερ ἐπισκώπτων τῇ φωνῇ. ὅπερ
κάλλιον. τυραννίδων δὲ σκῶπας
τοὺς νυκτοκόρακας. οἷον σκιῶπας
τοὺς ἐν σκιᾷ ἔχοντας τὴν φωνήν. .\/.
Σκαθόνων. τὰ τῶν κηφήνων κηρία
ὥς φησιν ὁ ἀριστοφάνης τοὺς κηροὺς
τοὺς ἔχοντας τῶν κηφήνων τοὺς
γόνους οἵτινες ἱπτάμενοι ἡδὺ ποι-
οῦσι βρῶμα. οἱ δὲ κοινότεροι
ἐπὶ τῶν κηφήνων τῶν ἐσθιόντων τὸ
μέλι· ὥς φησιν ἡσίοδος. κηφή-
νεσι

κοθούροις ἴκελος ὀρχηστῶν. Αἰγίλα
δῆμος ἀττικὸς ἀπὸ φυλῆς τινὸς
ἥρωος αἰγίλου. ὅτι δὲ ἀττικαὶ ἰσ-
χάδες καὶ ἱστοῦσι καὶ ὁ Δίων μαρτυρεῖ.
ἔστι δὲ καὶ Λακωνικῆς χωρίον αἴγιλον.
τινὲς δὲ ὅτι καὶ νῆσος μεταξὺ Κρή-
της καὶ Λακωνικῆς. Κισσαίθα
ὄνομα αἰγός. ἢ ἐκ τοῦ κισσῶ
καὶ τοῦ αἴθω ἡ κισσὸν λευκὴν κατανεμο-
μένη. αἶθον γὰρ τὸ λαμπρόν ἐκ
δὲ τοῦ λαμπροῦ γίνεται μεταληπ-
τικῶς τὸ λευκόν. ὅμως ἡ ταχεῖα
αἴξ ἀπὸ τοῦ ταχέως γεννᾶν/ κισσῶ
γὰρ τὸ γεννῶ. αἴθω δὲ τὸ καίω
καὶ ἀνάπτω /. /.

Φαρμακεύτρια δωρίδι /
Πᾶ μοι ταὶ δάφναι

Κελέβαν ἡ κελέβη ἐστὶ ποτήριον
ξύλινον κυλικῶδες ὑφορβίων ἔργον,
ποτηριοπλέκτη ἢ ὁ ποτηριογλύπ-
της

ὅστις ἐμεῦ κηλύνη μούνων ἀσπερχὲς
ἢ κελεύῃ ἐστὶν ὄνομα, πόλεως τῆς
χθονίᾳ θ' Ἑκάτᾳ. τὴν χθονίαν φασὶν
θεόν, ἢ νερτέρων πρύτανιν καθὰ
καὶ Σώφρων Ἥραν μιχθεῖσαν Διῒ γεννῆ-
σαι παρθένον ὄνομα δὲ αὐτῇ θέσθαι
ἄγγελον. ταύτην δὲ μετὰ ~~τὴν~~ γέννησιν
ὑπὸ ταῖς νύμφαις λαθοῦσαν παρὰ τοῦ
Διὸς τρέφεσθαι, αὐξηθεῖσαν δὲ κλέ-
ψαι τὸ τῆς Ἥρας μύρον ᾧ τὸ πρόσω-
πον αὐτῆς ἔθος ἦν χρίεσθαι καὶ δοῦ-
ναι Εὐρώπῃ τῇ Φοίνικος θυγατρί.
αἰσθομένην τὴν Ἥραν καὶ ἐφορμῆσαι
βουλομένην αὐτὴν κολάσαι. τὴν δ' αὖτ-
ε τὸ πρῶτον εἰς γυναικὸς τετοκυίας
οἶκον καταφυγεῖν. ἐκεῖθεν δὲ πρὸς
ἄνδρας νεκρὸν φέροντας. ὅθεν τὴν
μὲν Ἥραν ἀποστῆναι. τὸν δὲ Δία
τοῖς Καβείροις κελεῦσαι ἀναλαμ-
βάνοντας καθᾶραι αὐτήν. ἐκεῖνοι
δὲ ἐπὶ τὴν Ἀχερουσίαν λίμνην
ἀπαγαγόντες ἥγνισαν. ὅθεν

τὴν θεὸν ἀποκεκληρῶσθαι τοῖς
τεθνεῶσιν καὶ καταχθονίοις φασίν. /
ἄλλως· τᾶ χθονία θ' ἑκάτα / τῇ
δήμητρι μιχθεὶς ὁ ζεὺς τεκνοῖ ἑ-
κάταν διαφέρουσαν ἰσχύϊ καὶ μεγέ-
θει τῶν θεῶν ἣν ὑπὸ γῆν ὑπὸ
τοῦ πατρὸς πεμφθῆναι πρὸς
περσεφόνης ἀναζήτησιν καὶ νῦν
ἄρτεμις καλεῖται καὶ φυλακὴ καὶ
δαδοῦχος καὶ φωσφόρος καὶ χθο-
νία. τὰν καὶ σκύλακες· διὰ τὸ
σκύλακας ἐκφέρεσθαι δαπάνας
τῇ ἑκάτῃ. ἀριστοφάνης ἐν δαι-
ταλεῦσι. τί δὲ κυνίδιον λεπτὸν
λευκὸν ἐπείῳ τῇ θεῷ εἰς τὰς τρι-
όδους. ἀνά τ' ἠρία
οἱ τάφοι κοινῶς παρὰ τὸ ἐνηρεῖσθαι
τῇ γῇ ἢ παρὰ τὴν ἐπιχεομένην
τοῖς νεκροῖς γῆν ἢ ἔρα εἰσὶν ἱερά.
ἑκάτα δασπλῆτι. ἣ ἣν οὐκ ἄν
τις διαπελάσειεν ἢ διὰ τὸ δα
ἐπιτατικὸν πολυπέλαστε.

∴ ση· σελήνης

ἢ ἀντὶ τοῦ πολεμικὴ ἵνα ἔγκειται
ἡ δηῒς τουτέστιν ἡ μάχη ἢ ὅρος
πελάζουσα ταῖς δᾳσὶ τουτέστι
φωσφόρος ἐστὶ ἡ αὐτὴ ἐστὶ τῇ σελή-
νῃ. χερειμήτι κίρκης ἔτι καὶ νῦν
ἐν τῷ σεληναίῳ ὄρει ὅρμους δεικ-
νύουσι τῆς μηδείας καὶ κίρκης οἷς
ἔκοπτον τὰ φάρμακα. περιμή-
δας αὕτη ἐστὶν ἡ παρ' ὁμήρῳ
ἀγαμήδη περιμήδη λεγομένη
ἣ τόσα φάρμακα ὅσα τρέφει
εὐρεῖα χθών. ἴυγξ λέγου-
σι δὲ καὶ αὐτὴν τὸν ἔρωτα ἀπὸ
τοῦ ἐνόντος ζώου ἴυγγα, ὡς καὶ
πίνδαρός φησι. καθὰ φησὶ
καὶ ἀριστοτέλης ἐν τῷ περὶ ζώων
μορίων μικρῷ μεῖζον σπίνης
αὐτὸ λέγων ἢ κινάδος ἡ παρὰ
ῥωμαίοις σφοσπυγὶς καλεῖται
διὰ τὸ πανταχοῦ στρέφειν καὶ δο-
νίζειν τὴν αὐχένα καὶ τὴν πυγήν
ἢ τὴν ἴυγγα ὥς φησι καλλίμαχος

ἢ τοὺς θυγατέρας. φαρμακεύειν δὲ τὸν
δία, ὅπως ἂν αὐτῇ μιχθῇ. ὅθεν ὑπὸ
ἥρας εἰς ὀρνιθάριον αὐτὴν καταβαλεῖν
καὶ συμβῆναι ταῖς φαρμακίαις. ἀλφιτ
ὡς τῶν μαγευουσῶν ἄλφιτα θυουσῶν
ταῦτα δὲ θυλήματα ἔλεγον. τάκεται
δὲ τύφεται. θυμιᾶται. τάφεται δὲ
καὶ καίεται. ῥόμβον ἀττικοὶ κο
ρυμβον καλοῦσιν. πρὸς ἀρ' ἀμαθύνων
ἀμαθύνοντα ποιήσας ἀφανίσαι. ἄμαθος
γὰρ ἡ κόνις. σὺν δαίμονι τάχω
ἢ τῇ σελήνῃ ἢ τῷ ἔρωτι ἢ τῷ ἑαυτοῦ
δαίμονι ὡς μένανδρός φησι. δαίμων
ἀνδρὶ παρίσταται εὐθὺς γινομένῳ/ πε
ριβόντον δέ, τὸ συγκράττους δαιμόνιον. /
ὁ μύνδιος ὁ μυνδης ἐξ ἀρ
καδίας ἔνθα ἦν ὁ νεανίσκος οἱ δὲ καρί
ας φασὶ τὸν μύνδον. ἀδάμαντα
ἢ τὸν λίθον ἢ τὸν ἀδάμαντα σίδηρον
ἢ καὶ τὸν ῥαδάμανθυν ἢ τὸν πλούτωνα,
καθὼς σκληρὸς καὶ ἀδάμαστος δυνηθέν
του καὶ τὸν ἐν ἅδῃ ἀνείλικτον. /./

ἁ θεὸς ἐν τριόδοισι. ἱδρύοντο δὲ τὴν ἑκά
την ἐν τοῖς τριόδοισι. ὅτι καὶ ἐπὶ τῶν
καθαρμάτων καὶ μιασμάτων ἡ θεός.
ἔνιοι δέ φασι φεραίου τῆς αἰόλου καὶ
διὸς παῖδα αὐτὴν γεγονέναι καὶ ὑπὸ
τῆς μητρὸς ἐς τρίοδον ῥιφθῆναι. τὴν δὲ
φέρητος βουκόλων ἀνελομένων ἐκ
θρέψαι, διόπερ τὰς τριόδους ἱερὰς
τῆς θεοῦ νομισθῆναι. ἱδρύοντο δὲ
αὐτὴν καὶ πρὸ τῶν θυρῶν ὡς φησὶν αἰσχύλος·
δέσποιν' ἑκάτη τῶν βασιλειῶν πρόδρο
μος μελάθρων. τὸ χαλκίον ὡς τά
χος ἄχει. τὸν δὲ χαλκὸν ἔκρουον ἐν τῇ
ἐκλείψει σελήνης καὶ ἐν τοῖς κατοι
χομένοις. ἐπειδὴ ἐνομίζετο καθαρὸς εἶναι
καὶ ἀπελαστικὸς τῶν μιασμάτων. διὸ
καὶ πρὸς πᾶσαν ἀφοσίωσιν καὶ
ἀποκάθαρσιν αὐτῷ ἐχρῶντο καὶ
ἀπολλόδωρος ἐν τῷ περὶ θεῶν.
σὺν δαίμονι. σὺν τῇ σελήνῃ πρὸς
ταύτην γάρ φησι μαγεύων. ὡς τάχος
ἄχει ἀντὶ τοῦ ψόφει. κροῦε. ἐπεί

ὁ τοῦ χαλκοῦ ἦχος οἰκεῖον τοῖς κατοι-
χομένοις φησὶν ἀπολλόδωρος ἀθή-
νησι τὸν ἱεροφάντην τῆς κόρης ἐπι-
καλουμένης ἐπικρούειν τὸ καλού-
μενον ἠχεῖον καὶ παρὰ λάκωσι βασι-
λέως ἀποθανόντος εἰώθασι κρούειν
λέβητα. ἀντὶ γυναικὸς ἦμες
τὸ ἦμες ἀντὶ τοῦ εἶναι ἐκ τοῦ ἔμ-
μεναι γίνεται καὶ ἐκβολῇ τοῦ πρώ-
του μ· καὶ τροπῇ τοῦ ε εἰς η· καὶ ἀ-
ποκοπῇ τῆς αι διφθόγγου ἦμες.
ἐν δίᾳ, ἢ ἐν νάξῳ πολλαὶ δὲ καὶ
ἕτεραι εἰσὶ νῆσοι δίαι καλούμεναι
ἥ τε πρὸ τῆς κρήτης ἐν ᾗ εἰκὸς
συμβῆναι μόνην τὰ περὶ τὴν ἀριάδ-
νην καὶ ἡ μετονομασθεῖσα νάξος
καὶ ἡ περὶ μῆλον καὶ ἡ περὶ ἀμοργὸν
καὶ ἡ τῆς κῶ χερρόνησος καὶ ἡ τῆς πελο-
ποννήσου. ἱππομανὲς φυτόν ἐστι
ἁπλούστερον ὁ θεόκριτος φησὶ φυτὸν
ἱππομανὲς οἱ γὰρ περιττοὶ καὶ πολυ-
πράγμονες οὔ φασι φυτὸν εἶναι ἀλλὰ

τοὺς ἀποτικτομένους πώλους ἔχειν τι φυ-
όμενον ἐπὶ τοῦ μετώπου γλοιῶδες ἔλα-
ττον ἰσχάδος ὃ καλεῖται ἱππομανές
ἀποτρώγουσι δὲ αὐτὸ καὶ ἀπολείχουσιν
εὐθὺς αἱ ἵπποι καὶ εἰ τοῦτο ποιήσουσιν
φιλοστοργοῦσιν τὰ ἔκγονα, εἰ δὲ μὴ ἀ-
πεχθαίρουσι καὶ οὐ προσίενται. διὰ
τὸ φυσικὸν οὖν συγκαλεῖσθαί τι πρὸς
φιλοστοργίαν οἱ ἱπποφορβοὶ ἀφαιροῦ-
σιν αὐτὸ καὶ αἱ φαρμακίδες χρῶνται αὐ-
τῷ πρὸς τὰ φίλτρα. φασὶ δὲ ὅτι εἰ
αἴσθοιντο τῆς ὀσμῆς αἱ ἵπποι ἐκμαίνον-
ται πρὸς τὸν ἔχοντα αὐτάς διὸ καὶ οὕτως
φησὶν ἱππομανές. ἄλλως. κρατεύας
φησὶ τὸ φυτὸν ἔχειν καρπὸν ὡς συκῆς
ἀγρίου, μελάντερον δὲ τὸ φύλλον ὡς
πες μήκωνος ἀκανθῶδες οὐ μέντοι
προστίθησιν εἰ πρὸς φίλτρα συμμά-
χεται. ἴσως φυτὸν αὐτὸ ἔφη ὁ θεόκρι-
τος διότι φῦμα, ἀπὸ τοῦ φύεσθαι
ἐν τοῖς πώλοις ὡς φησιν ἀριστοτέλης
λέγει γὰρ καὶ ἀρχίλοχος τὸ φῦμα φυτόν

ἐσθλὴν γὰρ ἄλλην οἶδα τοιούτου
φυτοῦ ἄκεσιν. ἀντὶ τοῦ φύματος. /
ἐκ βδέλλα· βδέλλα παρὰ τὸ βδά-
λειν· οἷον ἐξαμέλγειν τὸ αἷμα. τὸ
γὰρ ἀμέλγειν ἀττικοὶ βδάλλειν λέ-
γουσι. θρόνα· θεσσαλοὶ μὲν
τὰ πεποικιλμένα ζῶα. κύπριοι
δὲ τὰ ἀνθινὰ ἱμάτια. αἰτωλοὶ δὲ
τὰ φάρμακα ὥς φησι κλείταρχος
ὁ ὅμηρος δὲ τὰ ῥόδα, παρὰ τὸ
ἄνω θορεῖν ἐκ τῆς γῆς. κανηφόρος
ἀνάσσω· κανηφοροῦσα τῇ ἀρτέμιδι
ἢ πομπὴν ἐπάγουσα τῇ θεῷ. ταῦτα
δὲ τὰ μυστήρια ἐν ἀθήνησι πολιτεύ-
εται. ἐκανηφόρουν δὲ τῇ ἀρτέμιδι αἱ
ὥραν ἔχουσαι γάμου ὥσπερ ἀπο-
λοτούμεναι τῆς παρθενίας τῇ θεῷ ἵνα
μὴ ὀργισθῇ αὐταῖς μελλούσαις λοι-
πὸν φθείρεσθαι / ἢ παρὰ μενάνδρῳ
αἱ κυΐσκουσαι ἐπικαλεῖσθαι τὴν
ἄρτεμιν ἀξιοῦσαι συγγνώμης ὅτι δια-
κορήθησαν. ἁ μεγάλοιτος. ἡ

μεγάλως δυστυχής. οὗτος γὰρ οὐ μόν(ον)
ὁ θάνατος ἀλλὰ καὶ πᾶν τὸ δεινὸν ἐν
ᾧ ἅδεται. τὸ ξυστίδα. τινὲς περι-
βόλαιον λεπτὸν ἀπὸ τοῦ τὸν χρῶτα
ξύεσθαι ἢ ὡς ἕτεροι ἀπὸ τοῦ ξύειν
τὸν χρῶτα. τὸ ἐξαλάπαξεν διέσυρεν
ἐκτὸς φροντίδος καὶ γνώμης ἐποί-
ησεν. ἄλλως. ἀλαπάσθαι παρὰ τοῖς
ἀττικοῖς τὰ κενώματα καὶ λάπαθος
βοτάνη κενωτική ἐστι. τὸ πολλάκι
.: γρ. θάψος θαψῷ χλωρὸς ἢ ξανθός. θάψος
γάρ ἐστι ξύλον τι ὃ καλεῖται
καὶ σκυθικὸν ξύλον ὡς φησὶ καὶ σαπ-
φώ. τούτῳ δὲ τὰ ἔρια βάπτουσιν
καὶ ποιοῦσι μήλινα, καὶ τὰς τρίχας
ξανθίζουσιν. ἔστι δὲ τὸ παρ' ἡμῖν
λεγόμενον χρυσόξυλον. τὸ κοχύδεσκε
κατεφέρετο καὶ σταλακτὸν ἔρρει ὁ
ἱδρὼς ὁμοίως ταῖς καθύγροις δρό-
σοις. κόχος γὰρ ὁ σταλακτὸς ῥοῦς
ὀνοματοπεποίηται δέ. τὸ ἀλλ' ἐπά-
γην δαγῦδι ἀντὶ τοῦ ἄφωνος γέ-
γονα

ὁμοία, δαγῦδι ᾧ αἱ παρθένοι ποσ
μοῦνται. δαγὺς δὲ ~~γὰρ~~ ἐστὶ κοροκόσ
μιόν τι καλοῦσι δὲ αὐτὸ καὶ νύμφην
οἱ δὲ παλλάγγονα ~~ἔσως~~ ὡς ἀττικοί
ἀπὸ τοῦ πεπλάσθαι ἐκ κηροῦ.
ἄλλως δαγὺς κόσμος ἐγκάρδιός
ἐστι γυναικῶν καὶ στέφανος περι
σφίγγων τὴν κεφαλὴν καὶ περιηγὼς
ἐπ' αὐτήν. Μάλα μὲν ἐν κόλ
ποισι· μάλα μὲν ἔχων ἐν κόλποις
τὰ ἐράσμια καὶ ἐρωτοποιητικά. λέ
γει δ' αὐτὸ τοῦτο καθὸ ὑπὸ ἀφροδίτης
διδόμενα τῷ ἱππομένει μῆλα ἐκ
τοῦ διονύσου οἷς στεφανοῦνται. ταῦ ∴ γρ. ἐστεφανοῦτο. f. dionysii ut versus philete statim citatus indicat
τα δὲ εἰς ἔρωτα τὴν ἀταλάντην ἐκί
νησεν ὥς φησι φιλιτᾶς. τά οἱ
πότε κύπρις ἑλοῖσα μῆλα διονύ
∴ γρ. διονύσου σου δῶκε ἀπὸ κροτάφων. Λευκὴ
ἡρακλέος. ἐστεφανωμένος δὲ
λεύκῃ φησὶν ἐλήλυθε. διὰ τὸ δὲ
ταύτῃ. ὅτι ἀθλητικός ἐστιν ὁ δέλ
φις ὡς καὶ ἡρακλῆς εἰς τὸ φυτὸν

b. nij.

ἀπὸ τοῦ ἐν ᾅδου ἀχέροντος ἐς ἀνθρώπους ἐκόμισεν. Φωνεῦντα· κυρίως ἐπὶ τῶν ὀρνέων καταχρηστικῶς δὲ ἐστὶ τῆς ἡσύχου ἢ ἀσήμου ὑλακῆς τῶν κυνῶν. Ὄλπαν· ὄλπα κυρίως ἡ δερματίνη λήκυθος δι' ἧς ἐστὶν ἀποθέσθαι τὸ ἔλαιον. νῦν δὲ ἴσως τὴν χαλκῆν φησὶ λήκυθον διὰ τὸ δωρίδα φάναι ἐπὶ κορινθίαν. τὰ γὰρ κορίνθια χαλκώματα διαβεβοῦνται

Κῶμος δωρίδι· ἀμαρυλλὶς ἢ αἰπόλ. Κωμάσδω ποτὶ τὰν ἀμαρ.

Καὶ Τίτυρος· Τίτυρος ὄνομα κύριον τινὲς δὲ φασὶν ὅτι τὶς σιληνὸς οὐ σικελιώτης· ἄλλοι δὲ τοὺς τράγους. ἕτεροι δὲ τοὺς σατύρους· ἔνιοι ὄνομα πόλεως κρήτης. οἱ ἄλλοι τοὺς προπόλους τῶν θεῶν· τινὲς δὲ κάλαμον· οὐκ ἔστι δὲ ἀλλ' ἢ ὄνομα αἰπόλου

τινός. κνάκωνα λευκὴ ἢ πυρρὸν ἀπὸ
τοῦ κνήκους τοῦ ἀνθήματος. κορύφη
ἀντὶ τοῦ κερατίου. οὐ περιαπᾶται δὲ
τὸ γὰρ ὑποτακτικὸν ὁμοίως ἡμῖν οἱ
δωριεῖς ἐκφέρουσιν. ἀττικὴ δὲ ἡ
λέξις οἱ γὰρ ἀττικοὶ τοῦτο φασίν. ὡς
συνερχομένων ἀλλήλοις τῶν κερῶν
καὶ ταῖς κορυφαῖς ~~[illegible]~~ καὶ
ἐμπλεκομένων. τὰ βομβεῦσα μέλιτται
μέλισσα δὲ παρόσσον ἐπὶ τῇ μηλ-
ιβάνῃ μῆλα δὲ πάντα τὰ ἀκρότατα
δένδρων. ὅμηρος αὐτῇσι ῥίζῃσι καὶ
αὐτοῖσι ἄνθεσι μήλων. ἄγως. /
ῥοῖκός τις κνίδιος ἐν νίνῳ τῇ ἀσσυρί-
ᾳ ἰδὼν δρυὸς δένδρον ἀπὸ δὲ τοῦ χρό-
νου καταπίπτειν μέλλον τὸ φυτὸν
χάραξιν ἐνερείσας ἐπὶ πλέον
μόνιμον ἐποίησε· ἡ δὲ νύμφη θεα-
σαμένη χάριν αὐτῷ ὡμολόγησε ἡλι-
κιώτης γὰρ ~~τοῦ φυτοῦ~~ ἔφη εἶναι
τοῦ φυτοῦ καὶ ἐκέλευσε αὐτὸν ὅ-
τι ἂν ἐθέλῃ αἰτεῖσθαι ~~[illegible]~~

Σημ. τὸν κανόνα

:. emendo ῥοῖκος ex interpretibus apollonij libro 2 char. 70 ubi copiose hec fabula

:. ῥ. χάραξιν

ὁ δὲ τὴν συνουσίαν αὐτῆς ᾐτήσατο
ἡ δὲ ἔφη αὐτῷ ὅτι τὸν καιρὸν τῆς
μίξεως ἀφικνουμένη σοι μέλισσα
ἐρεῖ· μήποτε γοῦν τῆς ἱστορίας
ταύτης μέμνηται ὁ Θεόκριτος διὰ
τὸ τὴν μέλισσαν διακονῆσαι πρὸς
τοὺς ἔρωτας· αἱ τὰν πτέριν
πτέρις εἶδος βοτάνης ὁμοίας πτε
ρῷ στρουθοκαμήλου ἀφ' ἧς καὶ στι
βάδες ἐπὶ κλίνης ἐγένοντο ἐπὶ
∴ μαλακότητα τῶν ἀγροίκων διὰ τὴν ~~μαλακότητα~~
καὶ διὰ τὸ ἀποδιώκειν τῇ ὀσμῇ
τοὺς ὄφεις· ὁ δύσσοος· ὁ δυσχε
ρῶς διωκόμενος· λαοσσόος γὰρ
ἡ Ἀθηνᾶ, ἡ λαὸν διώκουσα ἢ
σώζουσα. δύσσοον γὰρ οἱ μὲν
κακοδαίμονα οἱ δὲ δυσχερῶς σω
ζόμενον παρὰ τὸ σοὸς ἢ σῶος
οὕτως οἱ παρὰ νηυσὶν σοοὶ μάχε
οιντο ἀχαιοί· ὁ Ὄλπις ὁ γριπεύς
∴ γρ. ἀπὸ τοῦ τόπου ἐκείνου ἀπὸ τούτου ἐκλήθη ἀλοῦμαι ὅθεν
ὄλπις ὁ ἁλιεύς· ὄλπις δὲ ἀπὸ

τοῦ λέπω λέπις καὶ ἐν ὑπερθέσει τοῦ
ο. ὄλπις ὁ τοὺς λεπιδωτοὺς ἰχθύας
ἀγρεύων πεποιημένον ἢ πύελον.
ὄλπις δὲ τὸ ὄνομα τοῦ ἁλιέως ἢ
παρὰ τὴν λεπίδα τῶν ἰχθύων ἢ
παρὰ τὴν τοῦ σώματος σχέσιν. ὄλπιν
γάρ φασι τὸν λήκυθον ὡς εἶναι
περὶ τὴν σμικρότητα τὸ ὄνομα.
ἄλλως. ὄλπις ὁ τοὺς ἔλοπας ἀγρεύ
ων ἢ ἐπίθετον τῶν ἁλιέων ἢ κα
τὰ διαφορὰν τῶν ἄλλων ἁλιέων
εἰσὶ γὰρ καὶ ἕτεροι οἱ περὶ τὰ ὄστρεα
ἀσχολούμενοι. τηλέφυλλον τινὲς
φύλλον τῆς μήκωνος λέγουσιν, ὅπερ
τύπτοντες ἐσημειοῦντο τὸν ἔρωτα εἰ
ἀντερῶνται ὑπὸ τῶν ἐρωμένων οἱ
ἐρῶντες. ἄλλοι δὲ ἐλλύχνιόν τι θαμνῶδες
κάτωθεν δὲ ἀναβαίνει ξίκλωνον.
τοὺς δὲ κλῶνας σαχμῆς μείζονας
ἀνθαρικίας. τὰ δὲ φύλλα ἔοι
κε τῷ ἀσπαρομένῳ λωτῷ. λαβὸν
δὲ ἀφίησιν ἐνικὸν δὴ ἐν ᾧ τὸ σπέρ
μα.

οὗ ἐπιχειρομένου ὁ χρὼς ἐξαμάπτει
ἢ τύπους τινὰς λαμβάνει. οὐ μόνον
δὲ ἐπὶ τὰς χεῖρας τὸ τηλέφιλον ἀγα
ἢ ἐπὶ τὸν ὦμον τιθέντες ἔθλαζον ἢ
ἐπὶ τὸν πῆχυν ἀπεπειρῶντο τοῦ ψό
φου. ποτὶ πάχεος τοὺς δακτύλους
κατὰ μεταφορικῶς ἀπὸ τοῦ ἀγκῶνος
ποιολογεῦσα ἀντὶ τοῦ ἀναλεγομένη
τοὺς στάχυας. ποίαν δὲ ἴσως διὰ
τὸ τοῦ πυροῦ καθέχειν ἀφοῦ καὶ τὸν
ἐνιαυτὸν ποίαν ἐκάλεσαν. ποιός
κυρίως ὁ πυρός ἢ ἀπὸ τοῦ ποία
ἡ βοτάνη. παραιβάτις ἢ ὄνομα
κύριον ἢ ἡ παροδῖτις ἡ παρα
πορευομένη. Ἀταλάντα
δύο Ἀταλάνται ἦσαν ἡ μὲν Ἀρ
κὰς ἡ δὲ Βοιωτίς. ἡ Σχοινέως
οὖν θυγάτηρ Βοιωτικὴ οὖσα καὶ
δρομαία, προσέθετο τὸν γάμον
αὐτῆς ὅστις νικήσει αὐτὴν δρόμῳ
λαβεῖν αὐτήν. καὶ πολλοὺς θελήσαν
τας νικῆσαι ἀνεῖλεν. ἱππομένης

ἱππομένης [illegible] incipit cantus quem promiserat se cantaturum. dixerat: ἀσεῦμαι ποτὶ τὰν πίτυν ὧδ᾽ ἀποκλινθείς. & fingit cantum dicit: οὐκέτ᾽ ἀείδω κείσευμαι δὲ πεσὼν καὶ τοὶ λύκοι &c.

Ἅλλεται ὀφθαλμός μου ὁ δεξιός explanatione huius proverbii quod usurpatur cum divinamus visuros nos aliquid faustum & letum lege in erasmo. fo. 146.

οὖν λαβὼν χρυσᾶ μῆλα ἐξ ἀφροδίτης
καὶ περιγενόμενος τῷ δρόμῳ ἔρριπτεν
ἑκάστ(ου) αὐτῶν εἰς τοὐπίσω· ἡ δὲ εὐθέως
περὶ τὸν ἵμερον τῶν μήλων ἐγένετο καὶ
ἐλείφθη· ὁ δὲ δι' αὐτῶν ἐνίκησεν. ἡ δὲ
ἀρκαδικὴ ἀταλάντη ἦν τοξότις ἀδμής/
ὁ δὲ βίαντος νηλεὺς ὁ τυροῦς
καὶ κρηθέως τὴν θυγατέρα πηρὼ ἔφη
δώσειν ἐκείνῳ γυναῖκα εἰς γάμον
τῷ ἐξάγοντι τὰς βοῦς αὐτῷ ἀπὸ
ἰφίκλου ἐκ φυλάκης· βίας δὲ ὁ — γρ. ἐκ φυλακῆς
μελάμποδος ἀδελφὸς ἤρα αὐτῆς
σφόδρα· ὁ οὖν μελάμπους. ὁ
οὖν μελάμπους ἐλθὼν εἰς τὴν ἰφί
κλου χώραν διὰ τὰς βοῦς ἐδεσ
μεύθη παρ' ἰφίκλου· μέλλοντος
δὲ τοῦ δώματος ἐν ᾧ ἦν πίπτειν
μάντις ὢν προεμήνυσε/ ἐφ' ᾧ
καταπλαγεὶς ὁ ἴφικλος ἔλυσε
καὶ ἀπέλυσε σὺν βουσὶ καὶ εἴληφε
βίας τὴν πηρώ· ἄλλως· νηλεὺς
ὁ τυροῦς καὶ κρηθέως τὴν θυγατέρα

∴ γρ. ἐκτέμνοντι δέ ποτε ἐν φυλάκῃ τῷ ἰφίκλῳ

πάρω ἐκείνω ἔφη δώσειν γυναῖκα,
τῷ ἐξάγοντι τὰς βοῦς ἀπὸ ἰφίκλου
ἐκτεμνόντ(ος) δέ ποτε τῷ φυλάκῃ ὁ
ἴφικλος παῖς ὢν παρεστηκότ(ος) ὃν
ἐκπλῆξαι ὁ πατὴρ θέλων ἣν
εἶχε μάχαιραν ταύτην εἰς τὸ πλη
σίον δένδρον ἐκπλῆξαι ὁρμή
σας συνέβη αὐτοῦ ἀπενεγκεῖν
τοῖς μορίοις. ταύτης οὖν μελάμ
πους ἀνευρὼν ἐκέλευσε τὸν

∴ γρ. ἀνελών

ἴφικλον ἀποξέσαντα τὸν ἰὸν πί
νειν καὶ οὕτως αὐτὸν πατέρα, ποι
ήσας τέκνων ἔλαβε τὰς βοῦς καὶ
διὰ τούτων τῷ ἀδελφῷ βίαντι τὸν
τῆς πηροῦς γάμον περιεποιήσατο
ἤρα γὰρ αὐτῆς σφόδρα. μελάμ
πους δὲ ἐκλήθη ὅτι γεννηθεὶς
ἐξετέθη παρὰ τῆς μητρὸς ἐρδόπης
ἐν ὑψηλῷ τόπῳ. παντὸς δὲ τοῦ
σώματ(ος) σκεπομένου μόνους ἦν
γυμνοὺς τοὺς πόδας καὶ ἐξεκαύθη
ὑπὸ τοῦ ἡλίου καὶ διὰ τοῦτο με

λάμπους ἐκλήθη· ἐνδυμίων τοῦ
ἐνδυμίωνος ἠράσθη ἡ σελήνη ἦν
δὲ οὗτος κατὰ τὸ λάτμιον ὄρος
τῆς καρίας φιλοκύνηγος ὢν καὶ
τὰς νύκτας λαμπούσης τῆς σε
λήνης ἐξῄει πρὸς θήρας διὰ τὸ
τὰ θηρία κατὰ τοῦτον τὸν καιρὸν
ἐξιέναι· τῇ δὲ ἡμέρᾳ ἐκάθευδε.
ἄλλως. ἐνδυμίωνά φασι παρὰ
τοῖς θεοῖς διατρίβοντα ἠράσθη τῆς ἥρας
ἐφ' ᾧ χαλεπήνας ὁ ζεὺς ἐποίη
σεν καθεύδειν διὰ παντὸς ἀθάνα
τα· τὸ δὲ ἄντρον ἐν ᾧ ἐκάθευ
δεν ἐν λάτμῳ τῆς καρίας ἦν.
ἰάσιωνα. ἰασίων ὁ κρὴς κρή
της βασιλεύς υἱὸς ἦν μίνωος καὶ
φρονίης νύμφης τούτῳ ἐν λειμῶ
νι κοιμωμένῳ ἡ δημήτηρ συνῆλθε
καὶ ἔτεκε τὸν πλοῦτωνα. βέβαλοι
τουτέστιν ἀμύητοι ἀμυστηρίαστοι
μυστήρια μὴ ἔχοντες. λέγουσι
δὲ περὶ τοῦ ἀδώνιδος ὅτι καὶ ἀπὸ

θανὼν ἓξ μῆνας ἐποίησεν ἐν ταῖς ἀγκάλαις τῆς ἀφροδίτης ὥσπερ καὶ ἐν ταῖς ἀγκάλαις τῆς περσεφόνης· τοῦτο δὲ τὸ λεγόμενον τοιοῦτόν ἐστιν ἀληθῶς· ὅτι ἄδωνις, ἤτοι ὁ σῖτος ὁ σπειρόμενος ἓξ μῆνας ἐν τῇ γῇ ποιεῖ ὑπὸ τῆς σπορᾶς καὶ ἓξ μῆνας ἔχει αὐτὸν ἡ ἀφροδίτη τουτέστιν ἡ εὐκρασία τοῦ ἀέρος καὶ ἔκτοτε λαμβάνουσιν αὐτὸν οἱ ἄνθρωποι.

Εἰπέ μοι ὦ κορύδων τέ· οἱ δωριεῖς ἀντὶ τοῦ σὲ χρῶνται. σκεπάνη· σκηνὴ ἢ λιγνάριον ἢ σκαφίον ὃ οἱ ἀττικοὶ ἄμην καλοῦσιν. δαμάλαι· αἱ νέαι βόες αἱ εἰς τὸ δαμασθῆναι ἐπιτήδειαι. πρώξ· ἡ δρόσος ἀπὸ τοῦ πρωὶ πέμπεσθαι. τὸ μάλιμον· τὰς ἐς θάλασσαν ἐστομωμένας λίμνας οὕτω φησί

παλύνεται ἢ λεπτύνεται· πάλην
γὰρ ἔλεγον τὸ τοῦ ἀλεύρου λεπτὸν
παρὸ καὶ φάλιον λέγεται. φαιγίπυρος
ἐστὶν ἀκανθῶδες φυτὸν ἢ εἶδος βο
τάνης· τὸ δὲ φύλλον ἔχει πλατὺ
ὥσπερ φακῆς· ἐστὶ δὲ γλαυκίζου
σα· εἰς ἕλκη φλεγμαίνοντα ἀγαθή·
κνύζα φυτὸν χορτῶδες ὃ αἱ θεσ
μοφοριάζουσαι διὰ τὴν ἁγνείαν
στιβάδα ποιοῦσι· δοκεῖ γὰρ ἡ βοτάνη
ψυκτικὴ οὖσα ἐπέχειν τὰς πρὸς
συνουσίαν ὀρέξεις. σκελίδα
εἶδος βοτάνης· τὸ δὲ φύλλον ἔχει
πλατύ. πίσσα· ἡ νῦν ὀλυμπία·
ἀπὸ πίσσου τοῦ ἀφαρέως ἢ ἀπὸ
πίσσης τῆς ἐνδυμίωνος θυγατρός.
Κὰν μὲν τὰς γλαύκας. γλαύκη
χία, τὸ γένος κρουματοποιός· ἐγέ
νετο δὲ κατόπιν φιλοξένου τοῦ
διθυραμβοποιοῦ. τὰ πύρρω·
οὗτος ὁ πύρρος ἦν ποιητὴς ἐρυ
θραῖος ὥς φησι λυγγεύς. τάν τε

κρότωνα, ἄλκιμος καὶ κρότων αἰακοῦ
υἱοί καὶ ὁ μὲν ἐβασίλευσε τῶν περὶ κ
ραίων ὁ δὲ ἐν σικελίᾳ ἔκτισε
κρότωνα, ὀγδώκοντα μόνος
ἐς αἴσωνα, μετενήνεκται τὰ περὶ
~~κη~~ μιλησίου ἀσμένακτος ἱστορού
μενα. φασὶ γὰρ τοῦτον ἴσθμια
νικήσαντα καὶ οἴκοι παραγενόμενον
ἐκ τῆς ἰδίας ἀγέλης τῆς μεγίστου
λαβέσθαι βοὸς καὶ μὴ ἀνεῖναι ἕως
ὁ ταῦρος ἐλευθερῶν τὸ σῶμα τῇ
βίᾳ κατέλιπε τὴν ὁπλὴν ἐν τῇ
χειρὶ αὐτοῦ. ὁπλὴν δὲ λέγει τὴν
χηλὴν καὶ ὁ ποτόδος ἐνθ' ὑπερβάλλει
βοὸς ὁπλὴν οὐδ' ἀπολέλειπται. τὸν
θαλλὸν ζώοντι. θαλλὸν ἔλεγον
θαλλός τι
οἱ ἀρχαῖοι πᾶν τὸ τεθηλός. ἀρ
χίλοχος. ἔχουσα θαλλὸν μυρσίνης
ἐτέρπετο καὶ ὅμηρος θαλλὸν περι
φοισι φορῆναι. ἀθηναῖοι δὲ κατ'
ἐξοχὴν τὴν ἐλαίαν φασίν. τὰ
κονσα ἢ τὰ δυσδίωκτα ἀπὸ

τοῦ δυσπόλου σεύεσθαι καὶ ὁρμᾶν
διὰ τὸ εἶναι ὀλιγοχαίτο. ὁ λέπαργος +
ἤγουν ὁ λευκὸς ἢ λευκοποίκιλος ἢ ὁ
λευκόπλευρος. λέγεται μὲν ἀπὸ τοῦ
λέπας ἑρμηνεύεται τὸ ἀργὸν ὅ ἐστι τὸ
λευκὸν ἔχειν δέρμα. ὁ δὲ ἀπὸ τοῦ
λευκὸς εἶναι κατὰ τὴν λαπαράν.
κυμαίθα ὄνομα βοὸς ἢ αἰγὸς
παρὰ τὴν κάμινθα ἢ παρὰ τὸ
αἴθη καὶ τοῦ κόμη ἢ τὰς κόμας αἴ-
θας ἔχουσα τουτέστι ξανθὰς ἢ
ἐγκύμων. ἀτρακτυλίδες· εἶδος
βοτάνης. εἴρηται δὲ ἀπὸ τὰς ἀ-
γροίκας γυναῖκας ἀτράκτους ποι-
εῖν ἐξ αὐτῶν. ἔνιοι δὲ ἀτρακτυ-
λίδας τὰ ἀγριολάχανά φασιν
ἀνήλιπος ἀνυπόδητος ἢ λιπ-
ὼν τὸ ὑπόδημα παρὰ τὸ ἐλιπεῖν
τὸ πέδιλον. ἀσπάλαθοι. ἀσπά-
λαθος εἶδος ἀκάνθης ὧ πληγέν-
τες οἱ ἔλαφοι ἀποθνήσκουσι
ἀσπάλαθος δὲ διὰ τὸ μὴ ῥαδίως

ἀπὸ τῶν πληγέντων ἀφαιρεῖσθαι
ἢ ἔτι μύλλαι καὶ ἔπτη ἀλλὰ καὶ
ἐλαύνει ἀπὸ τῶν ὠθούντων καὶ τῇ
κώπῃ καὶ τοῖς μύλλοις. οὐχ ἑλληνικὸν
δὲ ἀλλὰ ὑποκοριστικόν. καὶ μύλλον
τὸ διεστραμμένον οἱ γὰρ γέροντες
διεστραμμένοις τοῖς ὄμμασι βλέ-
πουσι. Φιλοίφας τὸ τοι γένος
ἢ ὁ φιλῶν τὸ συνουσιάζειν
οἰφεῖν γὰρ τὸ συνουσιάζειν ἀπὸ
τοῦ ὀπιπτεύειν ὅθεν καὶ οἰφόλης
γυνή. ὅθεν καὶ παροιμία. ἄριστα
χωλὸς οἰφεῖ ἤγουν φασὶ διατοθλῶσθαι
οἱ γὰρ χωλοὶ ἐν οἴκῳ καθήμενοι
συνεχῶς ἀφροδισιάζουσιν. οἱ
δέ φασιν ἐντεῦθεν τὴν παροιμί-
αν διατεθλῶσθαι αἱ γὰρ ἀμάζονες
ἐπὰν ἄρρεν γεννήσωσι χωλὸν
αὐτὸν ποιοῦσιν ἵνα μὴ ἀνδρειότε-
ρον αὐτῶν γένηται. καὶ τούτοις ἀν-
δροθεῖσιν συνίασι. σκυθῶν
λεγόντων καλοῦ συνεῖναι αὐταῖς

ἑαυτοῖς ἐκεῖναι φασιν ἔρημα χωλοὶ
οἰφοῦσιν. σατυρίσκοις τοὺς πᾶ-
νας οἱ πλείονες φασὶν ὡς καὶ τοὺς σι-
ληνοὺς καὶ τοὺς σατύρους. ἀκρατέστεροι
σάτυροι ἑτέρων· λέγεται δὲ παρὰ τὸ
σάθη/σάθη δὲ τὸ μόριον τοῦ ἀν-
δρός· λέγεται δὲ πέος

+ ἐξ. ἑτέρων

Αἶγες ἐμαὶ τῆνον τὸν
ποιμένα τὸν συβαρίταν

τὸν συβαρίταν. σύβαρις πόλις
ἰταλίας ἢ ἀπὸ συβάριδος τινὸς ἢ ἀπὸ
συβάρεως ποταμοῦ νῦν δὲ καλεῖ-
ται θούριον. ὑπὸ τῶν κροτω-
νιατῶν καθῃρέθη ἡ σύβαρις ἐλ-
θόντες δὲ οἱ ἀθηναῖοι αὐτὴν ᾤ-
κησαν καὶ τῆς πόλεως μετήλλαξαν
τὸ ὄνομα καλέσαντες αὐτὴν
θούριον ἀπὸ θουρίου ποταμοῦ ἐκεῖσε
ῥέοντος. νάκος ζωνόδοτος τὸ κώ-
διον μαρσύπιον καὶ νάκος αἰγός

δέρμα, ἢ σκύρος νάκος ἐστὶ αἰγὸς ~~δέρμα~~ ὀρθογράφου ἢ θεόκριτος ἐν τοῖς ἑξῆς αἰγὸς φησί. βασκαίνων ἀντὶ τοῦ φθονῶν λυπούμενος κυρίως δὲ βάσκανος ὁ τοῖς ὀφθαλμοῖς σαίνων ἢ φθείρων τὸ ὁραθὲν ὑπ' αὐτοῦ. τὸν πᾶνα τὸν ἄκτιον. ἤγουν τὸν κυνηγόν. ἐπακτῆρες γὰρ οἱ κυνηγοὶ ὡς φησὶν ὁ ἀππιανὸς ἢ ὥς φησι φιλοστέφανος. ἔστι πανὸς ἱερὸν πλησίον κραθίδος ποταμοῦ· τινὲς δὲ τὸν ἀπόλλωνα φασὶ τὸν ἐπ' ἀκτῆς ἱδρυμένον. φησὶ δὲ καὶ

Pindari locus

πίνδαρος τῶν ἁλιέων αὐτὸν φροντίζειν. τὰν βαίταν τὰ ἐκ κωδίων συνερραμμένα περιβόλαια ἤτοι τὴν διφθέραν ἀττικοὶ δὲ ταύτην σισύραν φασί καὶ ἀριστοφάνης ἐν πέντε σισύραις ἐγκεκορδυλημένος. ἡμεῖς δ' αὐτὰ σισύρνια φαμέν. ἐντί μὲν οὐδὲν ἱερόν παροιμία ἐπὶ τῶν μηδενὸς ἀξίων

φησὶ δὲ κλέανδρος ἐν δευτέρῳ πα-
ροιμιῶν ὅτι ἡρακλῆς ἰδὼν ἱδρυμένον
τὸν ἄδωνιν ἔφη οὐδὲν ἱερόν. οὐ
γὰρ αὐτὸν ἄξιον τιμῆς καὶ ἱδρύσεως
ἐδοκίμασεν ~~ἐπι~~ ἄλλως. ἔστι μὲν
οὐδὲν μέτα, ὡς ὁ ἀσκληπιάδης φη-
σί. διονυσόδωρος δὲ μεταφορὰν εἶναι
φησὶ ἀπὸ τῶν ἱερῶν τῶν τιμωμένων
μηδὲν ἐχόντων ἱερὸν καὶ σεβασμοῦ
ἄξιον. ἄλλως οὐδὲν ἱερὸν ἡρακλῆς
ἐλθὼν εἰς διόσπολιν τῆς μακεδονί-
ας ἰδὼν ἐκεῖνος ἱερὸν πολλοὺς ἐξιόν-
τας καὶ θέλων προσκυνῆσαι ἀνέ-
ηρετο τίνος εἴη. μαθὼν δὲ ἀδώνιδος,
εἶναι ἔφη οὐδὲν ἱερὸν ἀντὶ τοῦ οὐδὲν
ἄξιον οἷον οὐδεὶς θεῶν ὑπάρχων./
ὗς ποτ' ἀθηναίαν παροιμία ἐπὶ
τῶν τοῖς κρείττοσιν ἀντεριζόντων. τὸν
εὔβοτον τὸν εὐτραφῆ βόσεις γὰρ
αἱ τροφαί ὅθεν τὸ αἰγίβοτον καὶ ἱππό-
βοτον. ὦ κινάδα οἱ σικελιῶται
τὴν ἀλώπεκα οὕτω φασίν. ἔστι

δὲ ἀντὶ τοῦ πανοῦργε· τοιοῦτον γὰρ
τὸ ζῶον. κίναδος δὲ ἡ ἀλώπηξ λέγε
ται παρὰ τὸ κινεῖσθαι ἐν αἰδοῖ ἢ
ἀναιδῶς ἢ παρὰ τὸ κινεῖσθαι ἐν
δόλω· ἐποκίξατο ἀντὶ τοῦ
ἔκοψε πόκον ἐπόιησε· μὴ σπεῦ
δε παρειμι ἐπὶ τί διὰ τί σπευ
δομένων μὴ σπεῦδε οὐ γὰρ ἐπὶ πυ
ρὸς βέβηκας· θρέψαι λυκαδεῖς
ἐστὶ δὲ τοῦτο σωκράτους· κακοὺς
ποιῶν εὐθρέψαι κύνας. παροι
μία ἀπὸ ἀκταίωνος τοῦ ὑπὸ ἰδίων
κυνῶν βρωθέντος. λέγεται δὲ ἐπὶ
τῶν ἀχαριστούντων τοῖς εὐεργέταις
πασῶν δὲ κρατῆρα πρόσσον ἔλαι
ον ἐκτίθησι ταῖς νύμφαις:
αὗται γὰρ ἐκθρέψασαι τὸν ἀρισταῖον
ἐδίδαξαν τὴν τοῦ ἐλαίου ἐργασί
ᾳ ἢ μέλιτος ὡς φησὶν ἀριστοτέλης
πυγίσματος μὴ ταφῆς ἀντὶ
τοῦ γαμηθῆς βαθύτερ(ον) οὐ τοῦ
πρὸς ἐμὲ πυγίσματος ἐκ σοῦ

ὡς συλλέκτης· ἀρνεῖται δὲ διὰ τούτου
καὶ ἀριστοφάνης δὲ ἐν βατράχοις φησί
περὶ τοῦ κλέωνος περὶ τὸ κρυπτόμενον)
καὶ τὸ ἔνδον νοούμενον ἐν ταῖς ταφαῖς ∴ ση.
τίλλεσθαι ἢ ἐν καιρῷ συνουσιασμοῦ
τὰς θρίχας ἐκτίλλειν τῆς πύλης. Γαυ
λῶς· ἀγγεῖα χυτρωτά γαλακτοδόχα
ἐν οἷς πήγνουσι τὸ γάλα, παρὸ καὶ
φέρεται πλεονασμῷ τοῦ · υ · ἅτινα
καὶ ἀμολγέας καλοῦσιν · ἄλλως · γαῦ
λος εἶδος πλοίου καὶ γαυλὸς ἀγγεῖον
τὰ δὲ καρνεῖα πραξίλλα μὲν ἀπὸ
καρνείου φησὶν ὀνομάσθαι τοῦ διὸς
καὶ εὐρώπης υἱοῦ ὃς ἦν ἐρώμενος τῷ
ἀπόλλωνι / ἀλκμὰν δὲ ἀπὸ καρ
νέου τινὸς ζωϊκοῦ · Διονύσιος δὲ
ἀπὸ τοῦ κράναι ὅ ἐστι τελέσαι · φα
σὶ γὰρ ὡς μενέλαος στρατεύων εἰς
ἴλιον ηὔξατο τιμῆσαι αὐτὸν ἐὰν
κραίνῃ · ἄλλως καρνεῖα ἑορτὴ δω
ρικὴ τελουμένη τῷ καρνείῳ ἀπό
λλωνι ἤτοι τὴν πελοπόννησον ἀπὸ

κράνου μάντεως ὃς ἐφάνη τοῖς ἡρα
κλείδαις. ἀπὸ ταύτου κράνειον ἀπό
λλωνα προσαγορεύουσιν. ἢ δὲ ἱστο
ρίας παρὰ θεοπόμπῳ ὅτι αὐτοῦ
ἢ διὰ τὴν κύτορα, καλοῦσιν οἱ ἀρ
γεῖοι διὰ τὸ κρανέον ἀποσπᾶσαι τοῦ
στρατοῦ. τὸν οὖν κράνον οἱ ἡρακλεῖ
δαι ἀπέκτειναν ἀπερχόμενον εἰς
πελοπόννησον ὑπολαβόντες κατά
σκοπον εἶναι τοῦ στρατεύματος. ὃν ὕστε
ρον ἐτίμησαν ὑπὸ λοιμοῦ φθειρόμενοι.
ἢ μᾶλλον οὗτος ὁ κάρνης ὢν ἔπε
μπε τοῖς ἡρακλείδαις ἄσημα, τούτοις
μαντευόμενος· ὅντινα εἷς τῶν ἡρα
κλειδῶν ἱππότης ὄνομα λόγχῃ βαλὼν
ἀπέκτεινεν. διὸ λοιμὸς ἐπεκρά
τησεν τὴν πελοπόννησον. ἀπελθόν
τες δὲ ἔλαβον χρησμὸν ἐξ ἀπόλλωνος
τιμῆσαι κράνειον ἀπόλλωνα καὶ
τοῦτο ποιήσαντες ἐπαύσαντο λοιμοῦ
ταύτην οὖν τὴν ἑορτὴν μέχρι τοῦ
παρόντος καὶ οὗτοι οἱ μετοικήσαντες

ἧς ἑτέρας πόλεις ἐν πελοποννήσου διὰ
τὸ ἐπιτελοῦσιν· ἄγωσι· τὰ δὲ κάρ
νεα· ἐστὶν ἑορτὴ διὸς καρνείου ὀνο
μαζομένη παρ' ἕλλησι δὲ τελεῖται
διὰ τὸ τὸν θούνειον ἵππον ἐκ κερ
νίου ἠναιξύλου· Κυνόσβατος
φυτὸν ὅμοιον ῥόδον ἔχον τὸν καρπόν
ἔστι δὲ μεταξὺ θάμνου καὶ δένδρου
παρόμοιον ταῖς ῥοιαῖς ἀκανθώ
δες ὥς φησι θεόφραστος· ἔστι δὲ
ὁ κυνάκανθος. οὐδ' ἀνεμώνα
τὴν ἀνεμώνην νίκανδρός φησιν
ἐκ τοῦ ἀδώνιδος αἵματος φῦναι·
Κρατίδης δὲ δύο φησὶ τὴν ἄν
θος ἔχουσαν μέλαν τὴν δὲ φοι
νίκεον· σωσίβιος δὲ παρὰ
λάκωσι τὰς ἀνεμώνας φαινίδ
καλεῖσθαι φησί· πρὸς ῥόδα·
ῥόδα παρὰ τὸ ῥᾷστον ἀπορρεῖν
ῥοῶδες γάρ ἐστιν ἤτοι φυλλορροοῦν
ἄνθεα· νῦν ἀντὶ τοῦ ἄκρα
κυρίως δὲ ἄνθεα τὰ ἐπάνω

:. ἐξ. φύζον

τῶν ὀχετῶν τῶν ὑγρῶν ἤτοι τὰ χείλη τοῦ ποταμοῦ παρὰ τὸ ἄνω διεχῆναι τῶν γὰρ ῥείθρων τὰ ἄκρα ἢ πρωτεύοντα φαίνονται ταῖς ἐπιχαρίμοις. Οὐδ᾽ ἐκύλοις ἄκυλος ὁ τοῦ πρίνου βάλανος. Φάσσαν ὄνομα ὀρνέου. Ἀλέξανδρος δέ φησιν ὁ Μύνδιος ὅτι ἡ μὲν φάσσα ὑποκυάνεον ἔχει τὴν νεφέλην ἢ μᾶλλόν γε ἐμπόρφυρον· τῶν τε ὀφθαλμῶν λευκῶν ὄντων τὸ ἐν αὐτοῖς μέλαν στρογγύλον ἔχει. Θεκτὸς ἀρκεύθου φησὶν ὁ Θεόφραστος ὅτι τῶν ἀγρίων ἐστὶν ἐλάτη πεύκη. ἄρκευθος μηλέα. ὀΐη ἡ νάρυκος, ἣν καλοῦσιν ἡδύδραν. Τὰν πέλλαν σκοτεινήν. μέλαιναν. πορφυρᾶν τὴν χροιὰν τοῦ σώματος ἐπιφανῆ, ἡνίκα ἂν δι᾽ ὑποδρομὴν τοῦ αἵματος μελαίνηται· πελιώματα καλοῦσιν ὃ τῇ Ἀφροδίτῃ συμβέβηκε

καὶ ὅμηρος μελαίνεται δὲ χρόα καλή

ὁ κώναρος διὰ τὸ κέρατα περιφερῆ

καὶ τραχέα ἔχειν ὡς κώνους ἢ στροβίλους

κυνάγα· τοῦτο τῆς αἰγός ἐστιν ὄνομα

τινὲς δὲ τὴν εὐκίνητον ἀκούουσιν.

αἶθον γὰρ τὸ πυρῶδες· λαύρας

ἐν κινήσει τὸ πῦρ· ὅθεν ὅμηρος τοὺς

λέοντας αἴθωνας φησί. τὰς λεκου δι

κέρκος· τὰς πολυτρίχους τὰς ἐχούσας

οὐρὰς ἀπλήρεις τριχῶν. κέρκος γὰρ

ἡ οὐρά. κιγκλίζειν· ταῦτα μὲν

μεταφορικῶς εἴρηται ἀπὸ τῆς ἐν

τῇ θύρᾳ κιγκλίδος· ὅτι δὲ κόραξ

σιδηροῦς ἐμπεπηγμένος εἰς τὸ μέσον καὶ

ἀποκρατῶν τὴν θύραν. ἄλλως.

κιγκλίζων· προσθετικοῦ ἀπὸ τοῦ

κύκλου οὕτω καλουμένου ὀρνέου

ὃν σεισοπυγίδα καλοῦσιν· ἀφ' οὗ ἡ :: νιῶ

λέξις μετήνεκται. κιγκλίζει δὲ τὸ

τὴν ὀσφὺν κινεῖν φησίν. ὥσπερ δὲ

παρὰ τὸ γίνω γίγνομαι, οὕτω καὶ παρὰ

τὸ κυκλῶ κιγκλῶ καὶ κίγκλος.

κυκλάμιν) βοτάνη λεπτόφυλλον ὅπερ
χλιανθὲν ποιεῖ πρὸς χίμετλα. Τὰ
δροσιὰ αἰθύλλια, εἰσὶ παντελῶς ἄ-
καρπα, πρὸς τοῖς ποταμοῖς φυόμενα
καλούμενα βεργοῦλα. Κύτιλος αἰγιλ-
ᾶινος θάμνοι εἰσὶν οὓς ἐπιμαίνον-
ται αἱ αἶγες. Κισσᾶς κίσσα
εἶδος ὀρνέου ἀμούσου ἐπιθυμητι-
κοῦ μικλοῦ ὅθεν ἐπὶ τῶν γυναικῶν
τὸ κισσᾶν ~~[illegible]~~ παρα-
λαμβάνει παρέσσον μὴ γενῶσαι
ἐκδέχονται πρὸς τὸ ποιεῖν. Κερου-
χίδες τριχῶς γράφεται. Κερου-
χίδες αἱ κερωφόροι κερουχίδες
αἱ οὐλὰ κέρατα ἔχουσαι. κε-
ρουχίδες ὑπὸ τῶν κεράστων ἑλκό-
μεναι. Φριμάσσετο φριμασμὸν
ἀποδίδου μεθ᾽ ἡδονῆς τοῦ τε
βρενθύου ἢ ἐναβρύνου ὡς πᾶσα
ἀγέλη. πεποιημένη δὲ ἡ λέξις
τοιοῦτος γὰρ δοκεῖ εἶναι ὁ ἦχος τοῦ
πταρμοῦ τῶν αἰγῶν. ἄλλως.

φριμάσσετο

οὐ κυρίως τῇ λέξει κέχρηται· φριμασ-
μὸς γὰρ ἐστὶ τῶν ἵππων.

## Δαμοίτας καὶ Δάφνις

ὁ Θοῦρις φησὶ διὰ τὴν τῶν θρεμμά-
των πολυπλήθειαν καὶ τοῦ γάλακτος
ἱδρύσασθαι ἱερὸν παρὰ τῇ ἄτμῃ · γρ. αἴτνῃ
τῆς Γαλατείας. Φιλόξενον δὲ τὸν Κυ-
θήριον ἐπιδημήσαντα, καὶ μὴ δυνάμενον
ἐπινοῆσαι τὴν αἰτίαν ἀναπλάσαι
ὅτι Πολύφημος ἤρα Γαλατείας. τὸν
ἀπὸ γραμμᾶς κινεῖ λίθον. μέσην
γὰρ τιθέασιν οἱ πέζοντες ψῆφον · γρ. παίζοντες
ἧς οὐχ ἅπτονται εἰ μὴ τέλεον ἡττώμε-
νοι αὐτῆς ἅψοιντο. λίθον οὖν τὴν
ψῆφον οἷον τὸν ἔρωτα, ὡς ἔλαττον πα-
ρέχει κίνδυνον. ἰξία· ἰξίον ἐστὶ τὸ
ὑπὸ τὴν ὀσφὺν ὀστοῦν ὃ καὶ γλουτὸς
καλεῖται καὶ κοτύλη παρὰ τὸ κοιλό-
τητα, ἧς ἐν αἱ κεφαλαὶ τῶν μηρῶν
ἁρμόζονται. ἐκνυζᾶτο· ἐκνανί-
ζετο. κνυζηθμὸς γὰρ λέγεται ἡ

τῶν κυνῶν ἄσημος ὑλακή. Κοτυτ-
ταρὶς ἀπὸ τῆς παρὰ δωριεῦσι
τιμωμένης Κοτυτοῦς ὠνόμασται ἀπὸ ∴ γρ. ~~καὶ~~ κοτυτοῦς
κότου· ἕτοιμοι γὰρ εἰς κότον οἱ γέρο- ∴ γρ. κοκυτοῦ
ντες. ἔστι δὲ κοτυτὼ δωρικὴ θεός
παρ' ἧς ὠνόμασται

ἦς χρόνος ἡνίκα ἐγὼ

Ἄλεντα τόπος ἐν Κῷ ἀπὸ ἀλεύτου
τινὸς βασιλέως. ἐπιγέγραπται
δὲ τοῦτο τὸ εἰδύλλιον θαλύσια ἢ ὁδοι-
πορία. τὰ δὲ πράγματα διάκειται
ἐν Κῷ. ἐπιδημήσας γὰρ τῇ νήσῳ
ὁ θεόκριτος καθ' ὃν χρόνον πρὸς
ἀλεξάνδρειαν ἐπορεύετο πρὸς πτο-
λεμαῖον φίλος κατέστη φρασιδά- ∴ γρ. κατέστη
μῳ καὶ ἀντιγένει λυκωπέως υἱοῖς
καὶ κληθεὶς ὑπ' αὐτῶν εἰς ἀγρὸν ἐπὶ
θαλύσια δήμητρος ἄπεισι μετὰ εὐ-
κρίτου καὶ ἀμύντου. χαῶν ἀγα-
θῶν· χάοι γὰρ τὰ ἀγαθὰ παρὰ λακε-
δαιμονίοις. χάον δὲ καὶ τὸ εὐγενές

ἢ τὸ ἀρχαῖον λέγεται. ἀπὸ Κλυτί[ας]
Κλυτίας ὄνομα κύριον Εὐρυπύλου τοῦ
βασιλέως τῶν Κῴων γυνή. θυγάτηρ δὲ
Μέροπος. φησὶν οὖν ὅτι συγγενεῖς οἱ
νεανίαι Χαλκώδοντος. Εὐρύπυλος ὁ Ποσει-
δῶνος Κλυτίαν γήμας ἐν Κῷ Χαλκώδοντα
καὶ Ἀνταγόραν ἐγέννησεν ἀφ' ὧν ἐν
μνᾶς ἐν Κῷ / οὗτοι δέ εἰσιν οἱ ἐπὶ τῆς
Ἡρακλέους βασιλείας τὴν Κῶ κατοι-
κήσαντες καὶ ὑποδεξάμενοι τὴν δῆμι-
ζα καθ' ὃν καιρὸν πλείστην τὴν κόσμησιν ζη-
τοῦσα ἡ νῆσος ἐπιδημήσαντας ὁ Θεόκρι-
τος ἐφιλιώθη Φρασιδάμῳ. Βούρρι-
ναν κρήνην ἢ Βούρρινα τῆς Κῶ. καὶ
Φιλιτᾶς. λάσαντο δ' ἐκ προχοῇσι σε-
λαμπέτροιο Βουρρίνης. Νικάνωρ δὲ
ὁ Κῷος ὑπομνημάτων β. φησὶ Βού-
ρεινα πηγὴν ἐν τῇ νήσῳ ἐστὶν ἢ τῷ ἀ-
φύκους καὶ τὴν βοὸς εἶναι παραπ-
λήσιος ἥ ἐστι ῥέουσα ἐκ πέτρας διὰ
βοὸς κεφαλῆς ἢ τὴν μεγάλην διὰ τοῦ
βου ἐπιτατικοῦ. βούπαις γὰρ καὶ

βουγάϊος μέγας. ἢ ὅμηρος δὲ νῦν βου
γάϊε. λυκώπεδ αἰολικῶς προπερο
ξύνεται. βρασίλα οἱ γράφοντες διὰ
τοῦ δ ἁμαρτάνουσι ἐγένετο δὲ βρα
σίλας λάκων τὸ γένος ὁ γὰρ λακεδαι
μόνιος βρασίδας οὐ θάπτεται ἐν κῶ
ἀλλὰ ἐν ἀμφιπόλει. τ κυδωνικὸν
κρητικὸν ἐστὶ δὲ πόλις κύδων ἀπὸ κύ
δωνος τοῦ ἑρμοῦ. κνακόν ἢ ξανθόν
ἢ λευκόν. λευκὸν μὲν ἀπὸ τοῦ καρποῦ
ξανθὸν δὲ ἀπὸ τοῦ ἄνθους. ἄλλως ἢ ὅτι
ὁ μὲν κύκλος αὐτοῦ μέλας τὸ δὲ σπέρ
μα λευκόν. τῆς κνίδης τοιοῦτον δέ ἐστι
τὸ τοῦ κνίδου ἄνθος ἢ ξανθὸν ἢ πυρρόν
νέας ταμισοιο εἴρηται δὲ παρὰ τὸ θαμί
ζειν. ἢ ὅ ἐστι πυκνοῦν τὸ γάλα περὶ
αὐτὸ στρεφόμενον. σαῦρος ἢ ἡ
σαῦρα λέγεται. φησὶ δὲ ἀριστοτέλης
περὶ τοῦ ζώου τούτου ὅτι ξηραινόμενος
εἰς ἔχιν μεταβάλλεται. ἀλωάν
ἄλλως ἀπὸ τοῦ ἀλίζω τὸ συναθροίζω
ἐπεὶ γὰρ συναθροίζουσιν τοὺς στάχυας

ἢ καλλίμαχ(ος) ἐς τὸ πρὸς τέλχους ἱερ(ὸν)
ἅλεες δεῦτε· ἢ ἅπαι ἡ θάλασσα
ἐντεῦθεν ἢ ἀρχῆς ἀντὶ τοῦ προγραφῆς.
σικελίδαν ἀσκληπιάδην φησὶ
λέγει τὸν γραμματοφόρον οὗτος γὰρ
σάμιος τὸ γένος. σικελίδην δὲ καλεῖ
τὸ πατρωνυμικὸν σικελοῦ γὰρ υἱὸς
ἦν οὕτω καλουμένου. ἄλλως. ἀσκλη
πιάδην φησὶ τὸν σάμιον τὸν ἐπιγρά
ψαντα οὐ δοκεῖ ἀκουστὴς γεγονέναι
ἁλκυόνες ἀλκύων θυγάτηρ ~~αἰ~~
μαινόλου ἢ κανώβης γυνὴ δὲ
κήϋκος. ἀλέξανδρος δέ φησιν ὁ
μύνδου ὅτι αὕτη θεῶν λέλογχεν νη
ρηίδων λευκοθέαν παλαίμονα
ἀφροδίτην. ἀλκυόνες δὲ ἐκλήθη
σαν παρὰ τὸ ἐν ἁλὶ κύειν ἢ ἀντίγονος
φησὶν ὅταν γηράσωσιν αἱ ἀλκυόνες
κήρυλοι καλοῦνται. ἀριστοτέλης
δὲ διῄρηκε ἀλκυόνα ἢ κήρυλον
ἢ κορώνην. οἱ δέ φασιν ὅτι τὰ ἄρ
ρενα τούτων κήρυλοι καλοῦνται

ὅπερ ἀληθές ἐστι. θρυνητὸν δὲ τὸ ζῶον
ἢ περὶ τοῖς αἰγιαλοῖς νεοττεῦον. /
ἢ τὸ κῦμα ἀφαιρεῖται τοὺς νεοττοὺς
αὐτοῦ. ιδ. δὲ ἡμέρας φασὶ περὶ
τὰς χιμερινὰς ἡμέρας εὐδιάζειν ἃς
καλοῦσιν ἀλκυονίδας ἑπτὰ πρὸ
τῆς γενέσεως καὶ ἑπτὰ μετὰ τὴν γένεσιν.
ἀνήτινον εἶδος ἄνθους. ἀνητίνοις δὲ
ἐχρῶντο στεφάνοις ὡς ἀλκαῖος καὶ σαπ-
φώ φασί. τινὲς δὲ καὶ πᾶν ἄνθος ἀνή-
τινον παρὰ τὸ ἄνω ~~ἵε~~ τείνεσθαι καὶ
ἵεσθαι. ἢ τῆς πελιάδος ἐν κῷ ἢ ἀρκα-
δίᾳ ἢ τὸν θεσσαλικὸν οἶνον ἢ τὸν ὑ-
γιείας ἢ ῥώμης παρασκευαστικὸν ἢ τὸν
ἐν ἀναδενδράσι τρεφόμενον παρόσον
ταῖς παρακειμέναις πτελέαις ἐμ-
πλέκονται. ἢ ἐφέσιον. πτελέα γὰρ
ἡ ἔφεσος ἐκαλεῖτο ἢ τόπος ἐν αὐτῇ.
ἢ ἐν ἀρκαδίᾳ. ὅμηρος πτελέην ἕ-
λεος ἢ τὸν ἐξ ἀναδενδράδων αἳ ταῖς
πτελέαις ἐποχοῦνται ἢ ἀπὸ τόπου.
ἔστι δὲ ὁ τόπος μεταξὺ ἐφέσου καὶ
μιλήτου

κνύζα· ἀσφοδέλῳ. τὴν κόνυζαν κνύζαν
εἶπεν. ἔστι δὲ φυτῶν τὸ ψυκτικώτατον
ὅθεν καὶ ἐν τοῖς θεσμοφορίοις ὑποστρω
μνύουσι τὴν θερμότητα τὴν κατὰ τὰ
ἀφροδίσια ἐκκόπτοντες. ἀσφόδελος δὲ
βοτάνη πλατύφυλλος ἧς ὁ καυλὸς
καλεῖται ἀνθέρικος. ἀχαρνεύς ἀττι
κόν· ἀχάρνα γὰρ δῆμος ἀττικῆς. λυ
κωπίτας· ἤτοι αἰτωλός· λυκώπης γὰρ
πόλις αἰτωλίας· ἢ ἀπὸ δήμου λύκω
πος γὰρ δῆμος ἀποίκων ἢ ἐκ λυ
κώπεως ἐχούσης τὴν κλῆσιν. ἱερ
ὰ λάρναξ· λύκιός φησι τῆς θου
ρίας ὄρος θάλαμον ὑφεστάναι ἄντρον τῶν
νυμφῶν καλοῦσι δὲ αὐτὸ ἀλουσίαν
οἱ ἐπιχώριοι ἀπὸ τοῦ παραρρέοντος
ἀλουσίου ποταμοῦ. ἐν τούτῳ ποι
μὴν ἐπιχώριος δεσπότου θρέμματα
βόσκων ἔθυεν ἐπὶ συχνὰ ταῖς μού
σαις. οὗ χάριν δυσχεράνας ὁ δεσπότης
~~βουλευσάμενος ἔσωσαν αὐτὸν αἱ~~
~~θεαί~~ ἐς λάρνακα κατακλείσας

αὐτὴν ἀπέθετο. ἐν τούτῳ ἐδίσταζεν
ὁ δεσπότης βουλευόμενος τί ποιῆσ-
αι ~~αυτ~~ αὐτὴν αἱ θεαί. παραδεδρα-
μόντος δὲ ~~χει~~ διμηναίου χρόνου παρα-
γενόμενος εἰς τὰ ζύγαστρα τῆς λάρν-
ακος διανοίξας ζῶντα, κατείληφε εἰς
τὴν λάρνακα ~~κηρίον~~ κηρίων πεπλη-
ρωμένην ἑνός. ἄνακτος δέ φησιν
δεσπότην. αἱ σιμαί οὕτω καλεῖν ἔθος
τὰς μελίσσας. τὸ γοῦν πρὸς ὑπο-
δοχὴν τῆς ἐργασίας αὐτῶν ἄγγος
σίμβλη καλοῦμεν ὅπου τὸν κάμα-
τον ~~τῶν~~ τῶν σιμῶν βάλλουσιν
σιμοβόλον τι ὄν. / ἔτος ὥρειον
τινὲς ὅλον ἐνιαυτόν. δύναται οὗτος
οὐ πάντως τὸ δωδεκάμηνον λέγειν
ἀλλά, τὴν τῶν ὡρῶν μεταβολήν. /
διαιρεῖται γοῦν εἰς τέσσαρα. τὸ γοῦν
ἔαρ ὁ θεόκριτος ὥρειον εἶπε τουτέστι
χειμηναῖον καιρόν. διὰ γὰρ χειμηναί-
ου καιροῦ πληροῦνται αἱ τέσσαρες
ὧραι τοῦ χρόνου. ὁμόλας ὅρος

θεσσαλι(κῶς). <u>μαλθακὸς</u> ζυφερὸς
ἁπαλὸς ἐκ τῆς μάλθης. αὕτη γάρ
ἐστι κηρὸς ἁπαλὸς συμμεμιγμένος
χελοῦσι δὲ αὐτῷ τῶν σανίδων
γομφώσεις ἀφοῦ διὰ τὴν ἐκκλη
σίαν καὶ τὸ ἐν τῷ βίῳ λοιδωρεῖσθαι
λέγεται. <u>παῖδες ἀρκαδικοί</u> οἱ ἀρ
κάδες ἐπὶ θήραν ἐξιόντες ἂν μὲν
ἀτυχήσωσι τιμῶσι τὸν πᾶνα· εἰ
δὲ τοὐναντίον σκίλλαισιν ἐμπα
ροινοῦσι παρ' ὅσον ὠρίων τῆς θη
ρας ἐστὶν αἴτιος. μόναστος δέ φησιν
ἑορτὴν ἀρκαδικὴν εἶναι, ἐν ᾗ οἱ παιόνες ∴ γρ. παῖ δες
τὸν πᾶνα σκίλλαισι βάλλουσι. /
χῖοι δὲ ὅταν οἱ χρηστοὶ ἐπὶ τὸ ἱερὸν
θύσωσι καὶ μὴ ἱκανὸν ᾖ τοῖς ἐσθίουσι
διὸ φησὶ κρέα τυτθὰ παρέῃ. τῶν
ἐφήβων ἐν σικελίᾳ γίνεται ἀγὼν ἐν
σκίλλαις καὶ οἱ νικήσαντες ταῦρον
ὑπὸ τῶν γυμνασιαρχῶν τιθέμενον
λαμβάνουσιν ἔπαθλον. <u>κυνίδεσσι
καθεύδεις</u> κνίδη ὑφ' ἡμῶν ἀκαλύ
φη δέ

ὑπὸ τῶν ἀττικῶν. ἔστι δὲ καὶ ἀγρι-
ελαία κνίδη καὶ τὸ κατ' ἐπεὶ συλλέγου-
σιν ὅταν τὸ πῦρ ἅλωσιν. ἔστι δὲ
καὶ ἄγριον λάχανον. ὑπὸ βλεμμύων
βλέμμυες ἔθνος αἰθιοπικὸν μελα-
νόχροον οἱ αὐτοὶ δὲ τοῖς ζωγλωδύταις
οὐ πάνυ δὲ ἐπαγγηθεὺς ἀθέατον
τὸν νεῖλον φησὶν ἢ τοὺς βλέμμυας
οὐκέτι γινώσκει ὁ νεῖλος πόθεν ἔχει
τὰς πηγάς. νεῖλος δὲ ἀπὸ νείλου
σ' ἔκτισεν ὃς μετὰ μάχην σύγκρασιν ἢ
ἀπὸ τοῦ νάειν ἴσως ὅ ἐστι κατὰ
συστροφὴν ἢ πάροδον νέαν ἰλύν
φέρει ἢ κατὰ τὸ πλημμυρῶν ὥρας
μόνον χρόνον νέαν ἰλὺν δοκεῖ. ὑέ-
τιδος καὶ βυβλαίδος ὑετὶς καὶ βυ-
βλὶς ὄρη καὶ κρῆναι μιλήτου. /
μιλήτου γὰρ φησὶν ἐγένοντο δλῶ-
νος καὶ βυβλὶς ἧς ἐρασθεὶς καῦνος
ἀπέλιπε περὶ μίλητον. /
ἐκφύει δὲ καὶ ἡ φέρουσα ἀπήρξατο
ταύτης ἡ κρήνη ὁμώνυμος. :/

ἐπιφθύζουσα· ἢ· ἐπιπτύουσα· φθύζειν
γὰρ τὸ πτύειν δωρικῶς· ταὶ ἐπὶ πυ
ξίαι φέρουσαι ἐβάδιζεν ὁδόν. πύξα,
ὄνομα, πόλεως ἐξ οὗ καὶ φύξιος ἀπό
λλων καὶ πὰν ἢ φυξάτις ὤν. ἐκεῖθεν
ἔφυγεν ἡρακλῆς ἄφνης ἐπιθεμένων
αὐτῷ τῶν κώων. οἰναρέοισι. καὶ εἰς
τὰ φύλλα τῆς ἀμπέλου. φυλλάνας
δέ φησιν οἰναζαρίζειν τὸ ὑπεραύξειν
~~τὸ ὑπεραύξειν καὶ~~ τῶν οἰναρέων καὶ ξυ
γῶν δεῖ γὰρ οἰναρίζειν τὰς ἀμπέλους
ἐπειδὰν ~~πε~~ πεπαίνωσιν οἱ βότρυ
ες. ὀροδαμνίσιν σκιὰν ποιούσαις
πολυφύλλοις. ὀροδαμνίδας δέ παν
τὸς δένδρου τὰς κλάδους λέγει. /
κοΐνατος δέ ἐτυμολογεῖ οἷον ἐν ὄρε
σι θάμνοι· αἰθαλίωνες δέ οἱ αἰ
θαλώδεις διὰ τὸ αἴθεσθαι ὑπὸ τοῦ
ἡλίου. ὀλολυγὼν χελιδὼν. ἀπὸ
τοῦ ὀλολύζειν ὁ γὰρ ἀριστοτέλης
φησὶ πάνυ ὀλολύζειν τὸ ζῶον
ἐν τοῖς ἑλώδεσι τόποις κατὰ τὴν

∴ ἴσ. ἢ. φυξάτης

∴ γρ. κλῆσιν

νύκτα. πολλὰ τῶν ζώων ἀπὸ φω-
νῆς ἔχει τὴν χρῆσιν. ὀλολύζω
ὀλολυγών. στάζω. σταγών. τρύζω
τρυγών. ἀείδω ἀειδών. πλήσσω
πλαγγών. κοκκύζω κόκκυξ
τὸ δὲ ἀκανθίδες καὶ τὰ τοιαῦτα
ὄρνεα νεμόμενα ἐπάνω ἀνθῶν. τού-
των τὰ μὲν καὶ τὸ αἰγιθάλων μίγ-
νυσθαι φησίν. ἀλλὰ ταῦτα ἄφωνα
ἀκανθὶς τὸ ὄρνεον ποικίλον ἐστὶ
καὶ λιγυρόν· καλεῖται δὲ ποικιλὶς διὰ
τὴν χροιάν. ἀριστοτέλης δὲ καὶ ἀλέξ-
ανδρος φησὶ διαβιβάζειν ἐπ' ἀκανθῶν
τοῦτο γοῦν θεόκριτος ἀκανθίδα λέ-
γει. παρὰ πλευραῖσι δὲ μῆλα
ταῖς πλευραῖς περικρεμάννυσθαι
τὸ γὰρ μῆλον τῆς ἀφροδίτης καὶ τὸ
ἐπιθυμητικὸν περὶ τὰ σπλάγχ-
να εἶναι. τὰ δὲ σπλάγχνα περὶ τὴν
πλευράν. φόρω κατὰ λάινον αὐλ

∴ γρ. τὸν πυλά-
ον. i. pelen
montes

οἱ μὲν τὸ σῶ ἥλιον. οἱ δὲ τὴν ἀρ-
καδίαν φωλόην ἐν ἀμφοτέροις γὰρ

ᾤκησαν ὁ χείρων καὶ ὁ φόλος ὑφ' ὧν ξενισθέντα τὸν ἡρακλέα φασὶ πολλοί. ὁ μέντοι οἶνος ἐκεῖνος ὁ δοθεὶς ~~ὑπὸ~~ ὑπὸ διονύσου χαριστήριον ἀνθ' ὧν αὐτῷ νάξον ~~προσένειμεν~~ ὁ φόλος κρινόμενον ~~παρὰ αὐτοῦ~~ πρὸς τὸν ἥφαιστον. φόλω δὲ ἀντὶ τοῦ φόλου. οἱ γὰρ δωριεῖς τὴν ου δίφθογγον εἰς ω μετατρέπουσι. διεκρανώσατε νύμφαι· κατὰ ἀντίφρασιν ἀντὶ τοῦ ἐκεράσατε. δράγματα ἢ μήκωνας· τὴν δέσμην φασὶν ~~οὐ~~ μόνον ἀστάχυς ἀλλὰ καὶ μήκωνας ἔχειν διὰ τὸ ἐν ἀμφοτέραις χερσὶ τὸ δαψιλὲς ἐμφαίνειν.

∴ γρ. μή

## Δάφνιδι τῷ χαρίεντι

∴ γρ. ἐμοῦ γὰρ

∴ γρ. μενάλκαν

Σωσίθεος δὲ δάφνιν γενόμενον ὑφ' οὗ νικηθῆναι μενάλκην ᾄδοντα, πανὸς ἢ νυμφῶν κρίναντος, γαμηθῆναι δὲ αὐτῷ θάλειαν. ἀλέξανδρος

~~Ex hoc Commento & commento sequentis edyllij poteris le[illegible] de Amoribus daphnidis & de ipso daphnide multa colligere que poete [illegible] [illegible]~~

δέ φησιν αἰπόλος ὑπὸ δάφνιδος μα
θεῖν μβρουαν τὴν λυκικήν. ἄναβοι
ἔνηβοι δὲ οἱ κατωτέρω δωδεκαέτης
ἐπίουρε· φύλαξ· γίνεται δὲ ἡ λέ
ξις ἀπὸ τοῦ ὁρῶ τὸ φυλάσσω. ὁ
κύων ὁ φάλαρος· φάλαρος λευ
κός ἢ ὀλένηρος ἢ ὀλένηρος· κύματα
φαληριόωντα λευκά. τὰ λευκαι
νόμενα τὸ φαλιὸν ἢ βαλιὸν λέ
γουσι ἢ τὸν ἐπὶ τῷ μετώπῳ ἔχον
τα λευκὸν σημεῖον. ἰυκτὰ μενάλ
κας· ἰύζειν τὸ ~~λι~~ λιγυφωνεῖν
κυρίως δὲ ἐπὶ τῶν γυναικῶν. δω
ρική δὲ ἐστιν ἡ λέξις. ἠθαλ κόνε ∴ κλίσις
κόνος λέγεται ὁ ξανὸς ὁ μὴ ἔχων κέ
ρατα. ἀγκὰς ἔχων τυ· οὐκ ἀ
νισοεπῶς τοῦτο ὁ θεόκριτος φησί
ἢ ὁ ἑρμησιάναξ γὰρ λέγει τὸν
δαφνίδα ἐρωτικῶς ἔχειν τοῦ μενάλ
κα ἀγόμενον ἐπ' εὐβοίᾳ τὰ περὶ
αὐτοῦ διατίθεται. οὗτος δὲ ἐπὶ σι
κελίᾳ. ὁ ἀπλαξ παγιδευτένος

κυρίως δὲ ἡ τῶν δρομέων ἀφετηρία.
ἀπὸ κοινοῦ δὲ φοβερὸν κακόν. συνό-
φρυς. δασεῖ ἔχουσα τὰς ὀφρῦς συγ-
κεκολλημένας τουτέστιν εὐόμματον
μιτύλαν. αἶγα, φησὶ τὴν μὴ ἔχουσαν
κέρατα. ἀκρηβὸς ἐών. ἱστοροῦ-
σι γὰρ αὐτὸν ἐξαπατηθῆναι ὑπὸ τῆς
νύμφης ἣν Σωσίθεος Θάλειαν καλεῖ
παρακελευσαμένης δὲ αὐτῆς ἄλλῃ
γυναικὶ μὴ ὁμιλεῖν μὴ τηρῆσαι τὴν
παραίνεσιν αὐτῆς ὅθεν ὁ μὲν Θε-
όκριτος φησὶ τὴν νύμφην ἀποστῆ-
ναι αὐτοῦ αὐτὸν δὲ ἀντιμεταβαλλόν-
τα ~~τοῦτον~~ τὸν ἐκείνης ἔρωτα ὑπὸ αὐ-
τῆς μεταλλάξαι τὸν βίον. ἐκτὸς
ἐμὴ αὐτὸν μὲν φησὶ ἀπώσασθαι
αὐτὸν ἄλλης δὲ ἐρασθῆναι. ὥς πό-
κα τὰς ξένας ἠράσατο Δάφνις
ὁ βούτας. οἱ δὲ λοιποί φασιν τυ-
φλωθέντα αὐτὸν ἢ ἀλώμενον κα-
ταχρημνισθῆναι.

Βουκολιασταὶ Δάφνι(ς)

Τὰ μὲν πράγματα, ἐπὶ Σικελίας κεῖ-
ται, προσλαλοῦνται δὲ ὑποκορισμέ-
νως Δάφνις ἢ Μενάλκας ὅπως ἀλλήλους
ἀντήσωσιν. οὐδὲν δὲ ἔχει πρὸς Με-
νάλκαν τοῦτον ὄντα Σικελὸν ὑπὲρ
Μενάλκου Χαλκιδέως οὗ φησιν Ἑρ-
μῆναξ ἐρασθῆναι τῆς Κυρηναίας
Εὐίππης ἢ διὰ τὸ μὴ ἐπιτυγχάνειν
αὐτῆς κατακρημνίσαι αὐτόν. στεῖραι-
σι. στείρας τὰς οὔπω τετοκυίας
αἱ γὰρ εἰς ἅπαν ἄτοκοι στεῖραι κα-
λοῦνται ἤτοι διὰ τὸ στερεὸν εἶναι τὸ
σῶμα, ὡσανεὶ ὑπὸ τόκων μὴ ἐκ-
λυόμενον ἢ παρὰ τὸ στέρεσθαι γόνου
μηδὲν ἀτιμαγελεῦντες μηδαμῆ
καταλιπόντες τὴν ἀγέλην. τοὺς
γὰρ καταλιπόντας τὸ κοινὸν τῆς ἀγέ-
λης καθ᾽ ἑαυτοὺς νεμομένους οὕτω
καλοῦσιν. ἐνέταξαι ὑπεσώρευται
σεσώρευται ἀπὸ τοῦ νάσσω. νῶ.
τὸ σωρεύω. χόρτα, 34. χόρτα
τε ἐμβρύων τε πλήθη. ἔμβρυ(α)

γρ. ναίω.

δὲ γὰρ ἀπὸ τοῦ ἐν ἑαυτῷ τὴν βορὰν
ἔχειν ἢ ἀπὸ τοῦ ἐμβρύειν καὶ αὐξά-
νεσθαι. χέρια δὲ καλοῦσι τὰς ὑμέν-
ας πληροῦσι τοῦ ἀμελχθέντος γά-
λακτος ἐσθίουσι δὲ θέντες ὑπὸ πῦρ
φηγοί εἶδος δρυός. εἴρηνται δὲ ὅτι
πρὸ τῶν δημητριακῶν καρπῶν τοὺς
βαλάνους ἤσθιον ἢ πηλούς τινὰς
παρὰ τὸ εὐπαγεῖς αὐτοὺς εἶναι. δοὶ
δὲ δρυὸς γένη ε. φηγός. ἡμέρειος
ἐτυμόδρυς. ἁλίφλοιος καὶ ἄμυλος.
